Ἀγαθῇ τύχῃ. Ἐπὶ Ἀγαθοκλέους Ἄρχοντος ἐπὶ τῆς Αἰαντίδος τρίτης Πρυτανείας, ᾗ Εὐκλῆς Ξε[νάνδρου Αἰθαλίδης ἐ]γραμμάτευεν, Βοηδρομιῶνος τετράδι ἐπὶ δέκα, τετάρτη καὶ δεκάτη τῆς Πρυτανείας, Ἐκκλησία κυ[ρία ἐν τῷ θεάτρῳ τῶν Προέδρων ἐπεψήφιζεν Ἀπελλῆς Δημοφῶντος Ἀγγελῆθεν καὶ συμπρόεδροι. Ἔδοξεν τῷ Δήμῳ Θεόδοτος Διοδώρου Σουνιεὺς εἶπεν, ἐπειδὴ οἱ ἔφηβοι οἱ ἐπὶ Ἀριστάρχου Ἄρχοντος θύσαντες ταῖς ἐγγραφαῖς τὰ εἰσιτήρια ἐν τῷ Πρυτανείῳ ἐπὶ τῆς κοινῆς Ἑστίας τοῦ Δήμου μετά τε τοῦ κοσμητοῦ καὶ τῶν ἐξηγητῶν καὶ τοῦ Ἱερέως τοῦ τε Δήμου καὶ τῶν Χαρίτων κατὰ τὰ ψηφίσματα, ἐπόμπευσάν τε τῇ Ἀρτέμιδι τῇ Ἀγροτέρᾳ (καὶ ἀνήνεγ)καν τὰ ἀριστεῖα κατὰ τὸ ψήφισμα, ὑπαπήντησαν δὲ καὶ τοῖς ἱεροῖς ἐν ὅπλοις μέχρι τῆς Ἠχοῦς καὶ προέπεμψαν (αὐτὰ, ὁμοίως δὲ καὶ) τὸν Ἴακχον, ἤραντο δὲ καὶ τοὺς βοῦς ἐν Ἐλευσῖνι τῇ θυσίᾳ καὶ ἀνέθηκαν ἐν τῷ ἱερῷ φιάλην ἀπὸ δραχμῶν ἑκατὸν, συνετέλεσαν δὲ καὶ τὰς λαμπάδας τὰς καθηκούσας ἑαυτοῖς, ἔδραμον δὲ καὶ τὴν λαμπάδα τ(οῖς ἐπιταφίοις πρὸς τοὺς [ξ]ένους ἐφήβους, οὓς καὶ [ἐνίκ]ων, ὁμοίως δὲ καὶ τοὺς ἄλλους δρόμους τοὺς ἐπιβάλλοντας αὐτοῖς, συνεξήγαγον δὲ καὶ τὴν Παλλάδα μετὰ τῶν Γεννητῶν καὶ [πάλιν ἀνήνεγκο]ν μετὰ πάσης εὐκοσμίας, εἰσήγαγον δὲ καὶ τὸν Διόνυσον ἀπὸ τῆς ἐσχάρας θύσαντες τῷ [θεῷ καὶ ἀνέθηκαν φιάλην κατασκευασθεῖσαν τῷ θεῷ ἀπὸ δραχμῶν ἑκατὸν, ὁμοίως δὲ καὶ τῷ ἐν Πειραιεῖ Διονύσῳ θύσαντες ἀνέθηκαν φιάλην ἀπὸ δραχμῶν ἑκατὸν, ἔθυσαν δὲ καὶ τοῖς Γαλαξίοις τ(ῇ Μητ)ρὶ τῶν θεῶν, καὶ ἀνέθηκαν φιάλην ἀπὸ δραχμῶν ἑκατὸν, ὑπόδειγμα καταλιπόντες τῆς πρὸς τοὺς θεοὺς εὐσεβείας ἐφ᾽ οἷς καὶ ἐστεφανώθησαν ὑπό τε τῆς Βουλῆς καὶ τοῦ Δήμου, ἔθυσαν δὲ καὶ τὰς ἄλλας θυσίας τὰς καθηκούσας ἑαυτοῖς, ὁμοίως δὲ καὶ τῷ εὐεργέτει Διογένει, ἐξῆλθον δὲ πλεονάκις καὶ ἐπὶ τὴν χώραν ἐν ὅπλοις εὐτάκτως ἕνεκεν τοῦ παρακολουθεῖν τοῖς ὁρίοις τῆς Ἀττικῆς, οὐθ᾽ ἕνα λυποῦντες τῶν ἐχόντων τὰ χωρία, περιέπλευσαν δὲ καὶ εἰς Μουνιχίαν ἐν ταῖς ἱεραῖς ναυσίν, ὁμοίως δὲ ἔπλευσαν καὶ εἰς Σαλαμῖνα καὶ ἐποιήσαντο ἅμιλλαν τῶν πλοίων, ἔδραμον δὲ καὶ μακρὸν δρόμον ἐξ ἑαυτῶν πρὸς τοὺς ἐν Σαλαμῖνι καὶ ἐνίκησαν (τοὺς ἀγῶνας τῷ τε Αἴαντ)ι καὶ τῷ Ἀσκληπιῷ ἐστεφανώθησαν ἐπὶ τούτοις πᾶσιν ὑπὸ τοῦ Δήμου τοῦ Σαλαμινίων χρυσῷ στεφάνῳ, ὑπαπήντησαν δὲ [καὶ τοῖς φίλοις καὶ] συμμάχοις τοῦ Δήμου Ῥωμαίοις μετὰ πάσης εὐταξίας, συνετέλεσαν δὲ πειθόμενοι τοῖς ὑπὸ τῶν Στρατηγῶν παραγγελλομ[ένοις, συνετελέ]σαντο δὲ καὶ νεωλκίας τῶν ἀφράκτων καὶ ἄλλων πλοίων καὶ]νῶν, ὁμοίως δὲ καὶ καθεῖλκον δι᾽ ἑαυτῶν μετὰ πάσης εὐκοσμίας, διετ[έλεσαν δὲ καὶ ὁμονο]οῦντες τὰ πρὸς ἀλλήλους, ἐγένοντο δὲ καὶ κατήκοοι τοῦ τε κοσμητοῦ καὶ τῶν κατασταθέντων ὑφ᾽ ἑαυτοῦ διδασκάλων ποιούμενοι τὰς μελέτας] ἐν τοῖς ὅπλοις καὶ τὴν ἀπόδειξιν ἐποιήσαντο ἐν τῷ Πα(ναθηναϊκῷ σταδίῳ καὶ] τῇ Βουλῇ, προσήδρευσαν δὲ καὶ ταῖς Ἐκκλησίαις ἐν ὅπλοις, παρε[κα(θίζανον δὲ καὶ ταῖς σχ]ολαῖς φιλομαθεῖν προαιρούμενοι ὅπως ἂν οὖν ἥ τε Βουλὴ καὶ ὁ Δῆμος] φαίνωνται τιμῶντες τοὺς πειθαρχοῦντας τοῖς τε νόμοις καὶ τοῖς [ψηφίσμασιν καὶ] τῷ κοσμητῇ. Ἀγαθῇ τύχῃ δεδόχθαι τῇ Βουλῇ τοὺς λαχόντας προέδ]ρους εἰς τὴν ἐπιοῦσαν Ἐκκλησίαν χρηματίσαι περὶ τούτ[ων, γνώμην δὲ ξυμβάλλεσθαι τῆς Β]ουλῆς εἰς τὸν Δῆμον ὅτι δοκεῖ τῇ Βουλῇ, ἐπαινέσαι τοὺς ἐφήβους) τοὺς ἐπὶ Ἀριστάρχου Ἄρχοντος καὶ στεφανῶσαι αὐτοὺς (χρυσῷ στεφάνῳ εὐσεβείας ἕνεκα) τῆς πρὸς τοὺς θεοὺς καὶ εὐαξίας, ἧς ἔχοντες διετέλεσαν κα]ὶ ἀνειπεῖν τὸν στέφανον τοῦτον Διονυσίων τε τῶν ἐν (Ἄστει καινοῖς τραγῳδοῖς καὶ Παναθηναίων κα)ὶ Ἐλευσινίων τοῖς γυμνικοῖς ἀγῶσιν, τῆς δὲ ἀναγορε[ύσεως τοῦ στεφάνου ἐπιμεληθῆναι τοὺς Στρα[τηγοὺς καὶ τὸν ταμίαν τῶν Στρατιωτικῶν, ἐπαινέσαι δὲ καὶ το]ὺς διδασκάλους αὐτῶν τόν τε παιδοτρίβην Σπουδίαν Ὀῆθεν, κα]ὶ τὸν ὁπλόμαχον Πρόδοτον Ει(ρε(αίον καὶ τὸν (ἀ-ο)ντί(στην) Διονύσιον Ἀζηνιέα καὶ τὸν τοξότην Μεν]έστρατον Τρικορύσιον, καὶ τὸν ἀφέτην Καλλίαν Αἰγιλιέα καὶ τὸν γρα]μματέα Καλλιάδην Στειριέον καὶ τὸν ὑπηρέτην [Ἐπίγονον Πειραιέα καὶ στεφανῶσαι ἕκαστον α)ὐτῶν θαλλοῦ στεφάνῳ· ἀναγράψαι δὲ τόδε τὸ ψήφισμα καὶ τὰ ὀνόματ]α τῶν ἐφήβων, τὸν γραμματέα τὸν κατὰ Πρυτανείαν [εἰς στήλην λιθίνην καὶ στῆσαι ἐν Ἀγορᾷ· ε]ἰς δὲ τὴν ἀναγραφὴν καὶ ποίησιν τῆς (στήλης μερίσαι τὸν ταμίαν τῶν στρατιωτικῶν τὸ γενόμενον ἀνάλωμα. Ἀγαθῇ τύχῃ. Ἐπὶ Ἀγαθοκλέους Ἄρχοντος ἐπὶ τῆς Κεκροπίδος ἐν]άτης Πρυτανείας, ᾗ Εὐκλῆς Ξενάνδρου Αἰθαλίδης ἐγραμμάτευεν Π]υανοψιῶνος ἕκτη ἐπὶ δέκα, πέμπτη καὶ δεκάτη τῆ[ς Πρυτανείας Ἐκκλησία κυρία ἐν τῷ θεάτ]ρῳ τῶν Προέδρων ἐπεψήφιζεν Ἡλιόδωρος [Φιλωνίδου Αἰθαλίδης καὶ συμπρόεδροι. Ἔδοξεν τῷ Δήμῳ Θεόδο[τος [Διοδώρου Σουνιεὺς εἶπεν], ἐπειδὴ Εὔδοξος Εὐδόξου Ἀχερδούσιος χειροτονηθεὶς κοσμητὴς ἐπὶ τοὺς ἐφήβους εἰς τὸν ἐπὶ Ἀριστάρχου Ἄρχοντος [ἐνιαυτὸν ἔθυσεν ἐν τῷ Πρυτανεί] τὰ εἰσιτήρια ἐπὶ τῆς κοινῆς Ἑστίας τοῦ δήμου μετά τε τῶν παιδευτῶν καὶ τῶν ἐξηγητῶν ποιησάμενος τὴν εἰς τὰς θ(υσίας δαπάνη)ν ἐκ τῶν ἰδίων, ἐποιήσατο δὲ καὶ τὴν ἀναστροφὴν ἅπασιν τοῖς κατὰ τὴν ἀρχὴν καλῶς καὶ δικαίως καὶ διετέλεσεν ἕκαστα πράττων, ἀκολούθως τοῖς τε νόμοις καὶ τοῖς ψηφίσμασιν, προενοήθη δὲ καὶ περὶ τῆς τῶν ἐφήβων εὐταξίας ὄντων

τον ἀριθμὸν ἑκατὸν καὶ τετταράκοντα ὧν καὶ τὴν πλείστη[ν σπουδὴν καὶ ἐπιμέλειαν, ἐποιήσατο τῆς παιδείας αὐτῶν] καὶ τῆς πρὸς τὰ μαθήματα φιλοτιμίας, συνετήρησεν δὲ αὐτοὺς καὶ παρ' ὅλον τὸν ἐνιαυτὸν ὁμονοοῦ[ντας τὰ πρὸς ἀλλήλους καὶ εὐπειθεῖς κατεσκεύασε δὲ [ὅπως τοῖς ὑφ'] ἑαυτοῦ τε καὶ τῶν στρατηγῶν παραγγελλομένοις πᾶσιν ἴσως καὶ κηδαιμονικῶς προσφερόμενος ἔθυσε δὲ καὶ τὰς θυσίας μετ' αὐτῶν πάσας [θύων ὑπὲρ τοῦ δήμου τοῖς θεοῖς καὶ τοῖς εὐεργέταις ἐν τοῖς καθήκουσιν χρόνοις, ἐποιήσατο δὲ καὶ τὰς ἀποδ[είξε]ις αὐτῶν ἔν τε τοῖς ὅπλοις καὶ τοῖς περὶ τὰ [ν]αυτικὰ καθάπερ περὶ τούτων προστέτακται, καταπεσόντος δὲ τοῦ περιβόλου τοῦ Διογενείου προενοήθη [τῆς ἐπισκευῆς αὐτοῦ ἀναδεξάμενος] τὴν περὶ αὐτὰ δαπάνην ἐκ τῶν ἰδίων καὶ περὶ πάντων τῶν κατὰ τὴν ἀρχὴν ἔδωκεν τὰς εὐθύνας ἐν τῷ δικαστη[ρίῳ, κατὰ τὸν νόμον, ὅθεν διὰ ταῦτ]α οἱ ἔφηβοι βουλόμενοι κατὰ τὸ καθῆκον ἀπονέμειν αὐτῷ κατ' ἀξίας χάριτας ἐστεφάνωσαν αὐτὸν καὶ πε[ρὶ πολλοῦ ποιούμενοι ἀναστῆσαι αὐτοῦ εἰκόν]α παρακαλοῦσι ἐπιχωρῆσαι τόπον εἰς τὴν ἀνάθεσιν, ἵνα οὖν καὶ ἡ Βουλὴ καὶ ὁ Δῆμος φαίνωνται τοὺς ἀνεστραμμένο[υς ἐν ταῖς ἀρχαῖς καλῶς καὶ ἀπ(ὸ π)αντὸς τοῦ βελτίστου καὶ ἀδωροδοκήτως τῆς προσηκούσης τιμῆς ἀξιοῦντες καὶ πᾶσιν ἐφάμιλλον ᾖ τοῖς ἐπὶ ταύτην τὴν ἀρ[χὴν καθισταμένοις δικαίως κατὰ τὸν] αὐτὸν τρόπον διεξάγειν. Ἀγαθῇ τύχῃ δεδόχθαι τῇ Βουλῇ τοὺς λαχόντας Προέδρους εἰς τὴν ἐπιοῦσαν Ἐκκλησίαν χρηματί[σαι περὶ τούτων, γνώμην δὲ ξυμβάλλεσθαι τῆς Βουλῆς εἰς τὸν Δῆμον ὅ,τι δοκεῖ τῇ Βουλῇ ἐπαινέσαι τὸν κοσμητὴν τῶν ἐφήβων τὸν ἐπὶ Ἀριστάρχου Ἄρχοντος Εὔδ]οξον Εὐδόξου Ἀχερδούσιον καὶ στεφανῶσαι χρυσῷ στεφάνῳ κατὰ τὸν νόμον ἀρετῆς ἕνεκα καὶ δικαιοσύνης τῆς πρὸς τοὺς ἐφήβους, καὶ ἀνειπεῖν τὸν στέφανον [τοῦτον Διονυσείων τῶν ἐν Ἄστει τραγῳδῶν τῷ καινῷ ἀγῶνι καὶ Παναθηναίων καὶ Ἐλευσινίων τοῖς γυμνικοῖς ἀγῶσιν, τῆ, δὲ ἀναγορεύσεως τοῦ στεφάνου κ[αὶ τῆς ποιήσεως ἐπιμεληθῆναι τοὺς Στρ]ατηγοὺς καὶ τὸν ταμίαν τῶν στρατιωτικῶν· ἐπειδὴ καὶ οἱ ἔφηβοι δι' ἣν πεποίηται εἰς αὐτοὺς σπουδὴν καὶ φιλοτιμίαν βούλονται ἀναθεῖν[αι αὐτοῦ εἰκόνα χαλκῆν ἐπ]κεχωρῆσθαι αὐτοῖς ποιήσασθαι τὴν τῆς εἰκόνος ἀνάθεσιν οὗ ἂν αὐτοῖς εὔκαιρον εἶναι φαίνηται (πλ)ὴν οὗ οἱ νόμοι ἀπαγορεύουσιν. (Ἀναγράψαι δὲ τόδε τὸ ψήφισμα) τὸν γραμματέα τὸν κατὰ Πρυτανείαν εἰς στήλην λιθίνην καὶ στῆσαι ἐν Ἀγορᾷ, εἰς δὲ τὴν ἀναγραφὴν καὶ τὴν ποίησιν τῆς στήλ[ης δοῦναι τὸν ταμίαν τῶν Στρατιωτικῶν τὸ γενόμενον ἀνάλωμα.

Ἀριστώνυμος Φανίου Ἐλευσίνιος εἶπεν, ἐπειδὴ οἱ ἔφηβοι οἱ ἐπὶ Ἀριστά[ρχου Ἄρχοντος παραγενόμενοι ἐπὶ τὴν θυσίαν καὶ τὸν ἀγῶνα τῶν Αἰαντείων τήν τε πομπ(ὴν συνέπεμψαν τῷ Αἴαντι, ἔδραμον δὲ καὶ τὴν λαμπάδα, ἐποιήσαντο δὲ καὶ ἅ[μιλλ]αν τοῖς πλοίοις, ἐποιήσαντο δὲ καὶ τὴν ἐπιδημίαν εὐσχήμονα καὶ ἐν τοῖς λοιποῖς ἀνεσ[τράφησαν εὐτάκτως καθάπερ ἦν αὐτοῖς ἀ[ρ]μόττον, ἔθυσαν δὲ καὶ τῷ Αἴαντι, [ὁμοίως δὲ καὶ τῷ Ἀσκληπιῷ, ὅπως οὖν ἁπάντων τούτων ὑπάρχῃ αὐτοῖς ὑπόμνημα παρὰ τοῦ Δήμου τοῦ Σαλαμινίων. Ἀγαθῇ τύχῃ δεδόχθαι τῇ Βουλῇ τοὺς λαχόντας προέδρους εἰς τὴν ἐπιοῦσαν Ἐκκλησίαν χρηματίσαι περὶ τούτων, γνώμην δὲ ξυμβάλεσθαι τῆς Βουλῆς εἰς τὸν Δῆμον ὅ,τι δοκεῖ τῇ Βουλῇ ἐπαινέσαι τοὺς ἐφήβους [τοὺς ἐπὶ Ἀριστάρχου Ἄρχοντος καὶ τὸν κοσμητὴν αὐτῶν Εὔδοξον Εὐδόξου Ἀχερδούσιον καὶ στεφανῶσαι αὐτοὺς χρυσῷ στεφάνῳ κατὰ τὸν νόμον, ἀνειπεῖν [δὲ ὑπὲρ αὐτ]ῶν τὸν στέφανον Διονυσίων τῶν ἐν Σαλαμῖνι τραγῳδῶν τῷ ἀγῶνι, τῆς δὲ ποιήσεως τοῦ στεφάνου καὶ ἀναγορεύσεως ἐπιμεληθῆναι τοὺς ἐπιμε[λητ]άς, ἐπαινέσαι δὲ καὶ τὸν ὁπλόμαχον Ἡρόδοτον Εἰτεαῖον καὶ τὸν ἀκοντιστὴν Διονύσιον Σφαίρου Ἀζηνιέα καὶ τὸν τοξότην Μενέστρατον Ἀ[σκληπιάδ]ου Τρικορύσιον καὶ τὸν ἀφέτην Καλλίαν Αἰγιλιέα καὶ τὸν παιδοτρίβην Σπουδίαν Καφισίου Οἶθεν καὶ τὸν γραμματέα Καλλιάδην Ἑρμαγόρο[υ Στειριέα καὶ τὸν ὑπηρέτην Ἐπίγονον Δημητρίου Πειραιέα, καὶ στεφανῶσαι ἕκαστον αὐτῶν θαλλοῦ στεφάνῳ· ἀναγράψαι δὲ τόδε τὸ ψήφισμα τὸν γραμματέα [[τοῦ Δήμ]ου εἰς στήλην λιθίνην καὶ στῆσαι παρὰ τὴν Δημοκρατίαν, εἰς δὲ τὴν ἀναγραφὴν καὶ τὴν ποίησιν τῆς στήλης μερίσαι τὸν ταμίαν τὸ γενόμενον ἀ[νάλωμα ἐκ τῶν κατὰ τὰ ψηφίσματα ἀναλισκομένων τῷ Δήμῳ. Ἀγαθῇ τύχῃ. Ἐπὶ Ἀριστάρχου Ἄρχοντος ἐπὶ τῆς Αἰαντίδος ἑβδόμης Πρυτανείας ᾗ Τελέστης Μ[η]δεί[ου [Παια]νιεὺς ἐγραμμάτευεν Γαμηλιῶνος ἑνδεκάτῃ, ἑνδεκάτῃ τῆς Πρυτανείας Ἐκκλησία κυρία ἐ[ν τῷ] θεάτρῳ τῶν Π[ροέδρων ἐπεψήφιζεν Στρατοφῶν [Στρατοκλ]έους Σουνιεὺς καὶ συμπρόεδροι. ἔδοξεν τῷ Δήμῳ Ἐπίγονος Δημητρίου Πειραιεὺς εἶπεν, ὑπὲρ ὧν ἀπαγγέλλει ὁ κοσμητὴς τῶν ἐφήβων Εὔ[δοξος Εὐδόξου Ἀχερδούσιος ὑπὲρ τῆς θυσίας, ἧς ἔθυσεν μετὰ τῶν ἐφήβων τῷ Διονύσῳ τῷ [ἐν Λιμναίῳ καὶ τοῖς ἄλλοις θεοῖς οἷς πάτριον ἦν [ἐν τῇ πομπῇ] Διονύσου. Ἀγαθῇ τύχῃ. Δεδόχθαι τῷ Δήμῳ τὰ μὲν ἀγαθὰ δέχεσθαι, ἃ ἀπαγ[γέλλει γεγονέναι ὁ κοσμητὴς ἐν τοῖς ἱεροῖς οἷς ἔθυεν ἐφ' ὑγιείᾳ καὶ σωτηρίᾳ τῆς τε Βουλῆς καὶ τοῦ Δήμου καὶ παίδων καὶ γυναικῶν καὶ τῶν φίλων καὶ συμμάχων τοῦ Δήμου τοῦ Ἀθηναίων. Ἐπαινέσαι δὲ τὸν κοσμητὴν Εὔδο]ξον Εὐδόξου Ἀχερδούσιον καὶ τοὺς ἐφήβους εὐσεβείας ἕνεκεν τῆς πρὸς τοὺς θεοὺς καὶ φιλοτιμίας τῆς πρὸς τὴν Βουλὴν καὶ τὸν Δῆμον, καὶ στεφανῶσαι κιττοῦ στεφάνῳ· ἐπειδὴ καὶ προνοούμενοι τῆς πρὸς τοὺς θεοὺς εὐσεβείας, καὶ προαιρούμενοι ἐπικοσμεῖν τὸν ναὸν τοῦ Διο[νύσου ἀνατ]εθήκασιν τῷ Θεῷ φιάλην ἀπὸ δραχμῶν ἑκατὸν κάλλιστον ὑπόδειγμα τῆς ἰδίας φιλαγαθίας τοῖς μεθ' ἑαυτοὺς ἀπολείποντες. Ἀναγράψαι δὲ τόδε τὸ ψήφισμα εἰς στήλην λιθίνην καὶ στῆσαι οὗ ἂν αὐτοῖς ἐπιτήδειον εἶναι δοκῇ.

Ἀγαθῇ τύχῃ. Ἐπὶ Ἀριστάρχου Ἄρχοντος ἐπὶ τῆς Κεκροπίδος ἑνδεκάτης Πρυτανείας, ᾗ Τελέστης Μηδείου Παιανιεὺς ἐγραμμάτευεν Θαργηλιῶνος ἕκτῃ ἐπὶ δέκα ἕκτῃ καὶ δεκάτῃ τῆς Πρυτανείας Ἐκκλησία ἐν τῷ θεάτρῳ ἐν Διονύσου τῶν Προέδρων ἐπεψήφιζεν Στρατοφῶν Στρατοκλέους Σουνιεὺς καὶ

συμπρόεδροι. Ἔδοξεν τῷ Δήμῳ. Ἐπιγένης Δημητρίου Πειραιεὺς εἶπεν (ὑπὲρ) ὧν ἀπαγγέλλει ὁ κοσμητὴς τῶν ἐφήβων Εὔδοξος Εὐδόξου Ἀχερδούσιος ὑπὲ)ρ τῆς θυσίας, ἧς ἔθυσεν μετὰ τῶν ἐφήβων τῷ Διονύσῳ καὶ τοῖς ἄλλοις θεοῖς, οἷς πάτριον ἦν ἐν τῇ πομπῇ τοῦ Διονύσου. Ἀγαθῇ τυχῃ δεδόχθαι τῷ Δή-μῳ) τὰ μὲν ἀγαθὰ δέχεσθαι ἃ (ἀ)παγγέλλει ὁ κοσμητὴς γεγονέναι ἐν τοῖς ἱεροῖς οἷς ἔθυεν ἐφ' ὑγείᾳ καὶ σωτηρίᾳ τῆ. τε Βουλῆς καὶ τοῦ Δήμου καὶ πα-ί)δων καὶ γυναικῶν καὶ τῶν φίλων καὶ συμμάχων τοῦ Δήμου τοῦ Ἀθηναίων. Ἐπαινέσαι δὲ τὸν κοσμητὴν Εὔδοξον Εὐδόξου Ἀχερδούσιον καὶ τοὺς ἐφή)βους εὐσεβείας ἕνεκεν τῆς πρὸς τοὺς θεοὺς καὶ φιλοτιμίας τῆς πρὸς τὴν Βουλὴν καὶ τὸν Δῆμον καὶ στεφανῶσαι κιττοῦ στεφάνῳ. Ἐπει-δὴ) καὶ προνοούμενοι τῆς πρὸς τοὺς θεοὺς εὐσεβείας καὶ προαιρούμενοι ἐπικοσμεῖν τὸν ναὸν τοῦ Διονύσου ἀνατεθείκασιν τῷ Θεῷ φιάλην ἀπὸ δραχμῶν ἑκατόν, κάλλιστον ὑπόδειγμα τῆς ἰδίας φιλαγαθίας τοῖς μεθ' ἑαυτοὺς ἀπολείποντες. Ἀναγράψαι δὲ τό δε τὸ ψήφισμα εἰς στήλην λιθίνην καὶ στῆσαι οὗ ἂν αὐτοῖς ἐπιτήδειον εἶναι δοκῇ.

| Ἡ Βουλή, ὁ Δῆμος. | Ἡ Βουλή, ὁ Δῆμος. | Ἡ Βουλή, ὁ Δῆμος. | Ὁ Δῆμος Σαλαμινίων. | Ἡ Βουλή, ὁ Δῆμος. |
|---|---|---|---|---|
| Τὸν κοσμητὴν Εὔδοξον Εὐδόξου Ἀχερδούσιον καὶ τοὺς ἐφήβους. | Τοὺς ἐφήβους. | Τὸν κοσμητὴν Εὔδοξον Εὐδόξου. Ἀχερδούσιον. | Τὸν κοσμητὴν Εὔδοξον Εὐδόξου Ἀχερδούσιον. | Τὸν κοσ[μητὴν Εὔδοξον Εὐδόξου Ἀχερδούσιον καὶ τοὺς ἐφή)βους. |

## Οἱ ἐφηβε(ύσαντες ἐπὶ Ἀριστάρχου Ἄρχ)οντος.

| | | | | |
|---|---|---|---|---|
| 'Ερεχθ(είδος. | | Ἀκαμαν)τίδος. | | |
| .... Διονύσιος Διονυσίου ........ | ........ | ........ε)ὺς Σφήττιος, | Μηνόφιλος Μηνοφίλου (Πειραιεύς, | Ἀρκεθ.... |
| .... Ἀρχέδημος Πολυεύκτου ...... | *Κεκρωπίδος.* | ........έους Σφήττιος, | Ἀλκέτης Θρασυφ[ῶντος Πειραιεύς, | Ἀρτεμ.... |
| .... Μένανδρος Πρωτογένου ...... | Δημόφιλος Δημοφίλου Ἁλαιεύς, | ........Εἰτεαῖος, | Ῥόδων Ῥόδωνος Ἀχερδούσιος | Ἀθηνόδ[ωρος |
| .... Νικόμαχος Σωσιγένου ...... | Πόπ)λιος Λευκίου Μελιτεύς, | ........υ Ἰφιστιάδης, | Ξενοκράτης Ἀσκλη[πιάδου Ἐλευσίνιος, | Διον(ύσιος |
| .... Θεοδόσιος Γλαυκί(ππου ...... | Παρμενί)σκος Λύσωνος Αἰγ[ιλιεύς, | ........Ἰφιστιάδης, | Διονύσιος Πασιάδου Δεκελεύς, | Εὐβουλί(δης |
| .... Νικοκλῆς Γοργί[ου ...... | .... κκος Ἀρτεμι[δώρου ...... | *(Οἰνηΐδος.)* | Ξένων Ἀσκληπιάδου ......... | |
| .... Σώπατρος Μ.(ν........ | ........ | ........έ ου Ἀχαρνεύς, | *Αἰαντίδ(ος.* | |
| .... *Αἰγεΐ)δος.* | ........ | ........Ἐπαγ)άθου Ἐπικηφίσιος, | Αυσίθεος Ἀριστ[οκράτου........ | Δω...... |
| .... Μνησικ[λῆς | ........ | ........ότου Θριάσιος, | Ἀριστέας Ἀριστ ........ | |
| .... Δίων.. | ........ | ........Ἀριστονίκου Ὀῆθεν, | Τιμόξενος ........ | |
| .... Ἀρχ[έλαος .. | ........ | ........ς Λεωφάνου Λακιάδης, | Θεόδωρος ........ | |
| .... ........ | Γλαυκίας ........νος Ἁλαιεύς, | Ἀριστό]βουλος Ἀγαθοκλέους Θριάσιος, | Ἀντιλέων ........ | |
| .... Φ[........Φλυ]εύς, | Ἀλκμάν...... ιανος Συβαλήττιος, | ........λος Διονυσίου Ἀχαρνεύς, | Χρεμωνίδ[ης ........ | |
| .... ........Φλυ]εύς, | Σατυρίων Σωσθένου Συβαλήττιος, | ........ | Ζωΐλος ........ | |
| .... ........ Διο]δώρου Φλυεύς, | Κόνων Ἀγαθοκλέους Ξυπεταιών, | ........ | Ἑρμαι ........ | |
| .... ...... 'Αριστοβούλου Ἀφιδναῖος, | Διόδωρος Διοδώρου Μελιτεύς. | ........ | Τιμ. ........ | |
| ..εὺς Μνησ[αγόρ]ας Μνασέου Προσπάλτιος, | *'Ιπποθ)ωντίδος.* | ........ | ........ | |
| ..εὺς Μενεκλῆς Μενοδήμου Θημακεὺς | Φανίας (Κ)αλλισθένου Κειριάδης, | ........ | ........ | |
| .... Κ)ριστόβουλος Ἡγησίου Ἀφιδναῖος, | Βάκχιο]ς Μητροβίου ἐκ Κοίλης, | ........ | ........ | |
| .... ........ | Λέων Σ)ωπάτρου Πειραιεύς, | ........ | Ἡ(ρ)ωδης........ | |

Μηνοφ]ῶ)ν Τελέστου Ἐροιάδης,

Ἱέρων Ἱέρωνος . . . . . . . . . . . .
Δημήτριος Δωροθέου . . . . . . . . . .
Φυσκίων Φυσκίωνος Φαλη[ρεὺς,
Ἀπολλόδωρος Ἀπολλοδώρου Ῥα(μ)νούσιος,
Ἀρτέμων Ἱέρωνος Ῥαμνούσιος.
*Ἀντιοχίδος.*
Θήρων Νίκωνος Ἀναφλύστιος,
Παγκράτης Πύῤῥου Κριωεύς.

Ἡ Βουλὴ ὁ δῆμος,
τὸν όπ)λόμαχον
Ἐρόδοτον
Εἰτεαῖον.

Ἡ Βουλὴ, Δῆμ)ος
τὸν (ἀκοντιστήν)
Διονύσιον
Σφαίρου
Ἀζηνιέα.

Ἡ Βουλὴ ὁ Δῆμο.ς
τὸν τοξότην
Μενέστρατον
Ἀσκληπιάδου
Τρικορύσιον.

Ἡ Βουλὴ ὁ Δῆμος
τὸν ἀφέτην
Καλλίαν
Αἰγιλιέα.

Ἡ Βουλὴ, ὁ Δῆμ[ος
τὸν γραμματέα
Καλλιάδην
Ἐπιγένου
Στειριέα.

(Ἡ Βουλὴ, ὁ Δῆμος
τὸν ὑπηρέτην
Ἐπίγο)νον
Δημη)τρίου
Πειραιέα.

# ΠΙΝΑΞ Β′.

ΣΑΙ ΕΝ ΑΓΟΡΑΙ ΕΙΣ ΔΕ ΤΗΝ ΑΝΑΓΡΑΦΗΝ ΚΑΙ ΤΗΝ ΠΟΙΗΣΙΝ ΤΗΣ ΣΤΗΛ(ΗΣ ....ΑΙ ΤΟΝ ΤΑΜΙΑΝ ΤΩΝ ΣΤΡΑΤΙΩΤΙΚΩΝ ΤΟ ΓΕΝΟΜΕΝΟΝ ΑΝΑΛΩΜΑ
ΑΡΙΣΤΩΝΥΜΟΣ ΦΑΝΙΟΥ ΕΛΕΥΣΙΝΙΟΣ ΕΙΠΕΝ ΕΠΕΙΔΗ ΟΙ ΕΦΗΒΟΙ ΟΙ ΕΠ ΑΡΙΣΤΑ(ΡΧΟΥ ΑΡΧΟΝΤΟΣ ΠΑΡΑΓΕΝΟΜΕΝΟΙ ΕΠΙ ΤΗΝ ΘΥΣΙΑΝ ΚΑΙ ΤΟΝ ΑΓΩΝΑ ΤΩΝ ΑΙΑΝΤΕΙΩΝ ΤΗΝ ΤΕ ΠΟΜΠ..........
ΨΑΝ ΤΩ ΑΙΑΝΤΙ ΕΔΡΑΜΟΝ ΔΕ ΚΑΙ ΤΗΝ ΛΑΜΠΑΔΑ ΕΠΟΙΗΣΑΝΤΟ ΔΕ ΚΑΙ ΑΜΙΛΛ(ΑΝ ΤΟΙΣ ΠΛΟΙΟΙΣ ΕΠΟΙΗΣΑΝΤΟ ΔΕ ΚΑΙ ΤΗΝ ΕΠΙΔΗΜΙΑΝ ΕΥΣΧΗΜΟΝΑ ΚΑΙ ΕΝ ΤΟΙΣ ΛΟΙΠΟΙΣ ΑΝΕΣ(ΤΡΑΦΗΣΑΝ
ΕΥΤΑΚΤΩΣ ΚΑΘΑΠΕΡ ΗΝ ΑΥΤΟΙΣ ΑΡΜΟΤΤΟΝ ΕΘΥΣΑΝ ΔΕ ΚΑΙ ΤΩ ΑΙΑΝΤΙ (ΟΜΟΙΩΣ ΔΕ ΚΑΙ ΤΩΙ ΑΣΚΛΗΠΙΩΙ ΟΠΩΣ ΟΥΝ ΑΠΑΝΤΩΝ ΤΟΥΤΩΝ ΥΠΑΡΧΗ ΑΥΤΟΙΣ ΥΠΟΜΝΗΜΑ ΠΑΡΑ ΤΟΥ ΔΗ
ΜΟΥ ΤΟΥ ΣΑΛΑΜΙΝΙΩΝ ΑΓΑΘΗ ΤΥΧΗ ΔΕΔΟΧΘΑΙ ΤΗ ΒΟΥΛΗ ΤΟΥΣ ΛΑΧΟΝΤ(ΑΣ ΠΡΟΕΔΡΟΥΣ ΕΙΣ ΤΗΝ ΕΠΙΟΥΣΑΝ ΕΚΚΛΗΣΙΑΝ ΧΡΗΜΑΤΙΣΑΙ ΠΕΡΙ ΤΟΥΤΩΝ ΓΝΩΜΗΝ ΔΕ ΞΥΜΒΑΛΕΣΘΑΙ ΤΗΣ
ΒΟΥΛΗΣ ΕΙΣ ΤΟΝ ΔΗΜΟΝ ΟΤΙ ΔΟΚΕΙ ΤΗ ΒΟΥΛΗ ΕΠΑΙΝΕΣΑΙ ΤΟΥΣ ΕΦΗΒΟΥΣ (ΤΟΥΣ ΕΠ ΑΡΙΣΤΑΡΧΟΥ ΑΡΧΟΝΤΟΣ ΚΑΙ ΤΟΝ ΚΟΣΜΗΤΗΝ ΑΥΤΩΝ ΕΥΔΟΞΟΝ ΕΥΔΟΞΟΥ ΑΧΕΡΔΟΥΣΙΟΝ ΚΑΙ ΣΤΕ
ΦΑΝΩΣΑΙ ΑΥΤΟΥΣ ΧΡΥΣΩ ΣΤΕΦΑΝΩ ΚΑΤΑ ΤΟΝ ΝΟΜΟΝ ΑΝΕΙΠΕΙΝ (ΔΕ ΥΠΕΡ ΑΥΤ)ΩΝ ΤΟΝ ΣΤΕΦΑΝΟΝ ΔΙΟΝΥΣΙΩΝ ΤΩΝ ΕΝ ΣΑΛΑΜΙΝΙ ΤΡΑΓΩΙΔΩΝ ΤΩΙ ΑΓΩΝΙ ΤΗΣ ΔΕ ΠΟΙΗΣΕΩΣ ΤΟΥ
ΣΤΕΦΑΝΟΥ ΚΑΙ ΑΝΑΓΟΡΕΥΣΕΩΣ ΕΠΙΜΕΛΗΘΗΝΑΙ ΤΟΥΣ ΕΠΙΜΕ(ΛΗΤΑΣ) ΕΠΑΙΝΕΣΑΙ ΔΕ ΚΑΙ ΤΟΝ ΟΠΛΟΜΑΧΟΝ ΗΡΟΔΟΤΟΝ ΕΙΤΕΑΙΟΝ ΚΑΙ ΤΟΝ ΑΚΟΝΤΙΣΤΗΝ ΔΙΟΝΥ
ΣΙΟΝ ΣΦΑΙΡΟΥ ΑΙΗΝΙΕΑ ΚΑΙ ΤΟΝ ΤΟΞΟΤΗΝ ΜΕΝΕΣΤΡΑΤΟΝ Α(ΣΚΛΗΠΙΑΔ)ΟΥ ΤΡΙΚΟΡΥΣΙΟΝ ΚΑΙ ΤΟΝ ΑΦΕΤΗΝ ΚΑΛΛΙΑΝ ΑΙΓΙΛΙΕΑ ΚΑΙ ΤΟΝ ΠΑΙΔΟΤΡΙΒΗΝ ΣΠΟΥΔΙΑΝ
ΚΑΦΙΣΙΟΥ ΟΗΘΕΝ ΚΑΙ ΤΟΝ ΓΡΑΜΜΑΤΕΑ ΚΑΛΛΙΑΔΗΝ ΕΡΜΑΓΟΡΟ(Υ ΣΤΕΙΡΙΕΑ ΚΑΙ ΤΟΝ ΥΠΗΡΕΤΗΝ ΕΠΙΓΟΝΟΝ ΔΗΜΗΤΡΙΟΥ ΠΕΙΡΑΙΕΑ ΚΑΙ ΣΤΕΦΑΝΩΣΑΙ ΕΚΑΣΤΟΝ ΑΥΤΩΝ ΘΑΛ
ΛΟΥ ΣΤΕΦΑΝΩ ΑΝΑΓΡΑΨΑΙ ΔΕ ΤΟ ΔΕ ΤΟ ΨΗΦΙΣΜΑ ΤΟΝ ΓΡΑΜΜΑΤΕΑ (ΤΟΥ ΔΗΜ)ΟΥ ΕΙΣ ΣΤΗΛΗΝ ΛΙΘΙΝΗΝ ΚΑΙ ΣΤΗΣΑΙ ΠΑΡΑ ΤΗΝ ΔΗΜΟΚΡΑΤΙΑΝ ΕΙΣ ΔΕ ΤΗΝ ΑΝΑΓΡΑΦΗΝ ΚΑΙ ΤΗΝ ΠΟΙΗΣΙΝ
ΤΗΣ ΣΤΗΛΗΣ ΜΕΡΙΣΑΙ ΤΟΝ ΤΑΜΙΑΝ ΤΟ ΓΕΝΟΜΕΝΟΝ Α(ΝΑΛΩΜΑ ΕΚ ΤΩΝ ΚΑΤΑ ΤΑ ΨΗΦΙΣΜΑΤΑ ΑΝΑΛΙΣΚΟΜΕΝΩΝ ΤΩ ΔΗΜΩ ΑΓΑΘΗ ΤΥΧΗ ΕΠΙ ΑΡΙΣΤΑΡΧΟΥ ΑΡΧΟΝΤΟΣ ΕΠΙ
ΤΗΣ ΑΙΑΝΤΙΔΟΣ ΕΒΔΟΜΗΣ ΠΡΥΤΑΝΕΙΑΣ Η ΤΕΛΕΣΤΗΣ Μ ΗΔΕΙ)ΟΥ (ΠΑΙΑ)ΝΙΕΥΣ ΕΓΡΑΜΜΑΤΕΥΕΝ ΓΑΜΗΛΙΩΝΟΣ ΕΝΔΕΚΑΤΗ ΕΝΔΕΚΑΤΗ ΤΗΣ ΠΡΥΤΑΝΕΙΑΣ ΕΚΚΛΗΣΙΑ ΚΥΡΙΑ Ε
Ν ΤΩΙ ΘΕΑΤΡΩΙ ΤΩΝ Π)ΡΟΕΔΡΩΝ ΕΠΕΨΗΦΙΣΕΝ ΣΤΡΑΤΟΦΩΝ (ΣΤΡΑΤΟΚΛ)ΕΟΥΣ ΣΟΥΝΙΕΥΣ ΚΑΙ ΣΥΜΠΡΟΕΔΡΟΙ ΕΔΟΞΕΝ ΤΩ ΔΗΜΩΙ ΕΠΙΓΟΝΟΣ ΔΗΜΗΤΡΙΟΥ ΠΕΙΡΑΙΕΥΣ ΕΙΠΕΝ
ΥΠΕΡ ΩΝ ΑΠΑΓΓΕΛΛΕΙ Ο ΚΟΣΜΗΤΗΣ ΤΩΝ ΕΦΗΒΩΝ ΕΥ(ΔΟΞΟΣ ΕΥΔΟΞ)ΟΥ ΑΧΕΡΔΟΥΣΙΟΣ ΥΠΕΡ ΤΗΣ ΘΥΣΙΑΣ ΗΣ ΕΘΥΣΕΝ ΜΕΤΑ ΤΩΝ ΕΦΗΒΩΝ ΤΩΙ ΔΙΟΝΥΣΩ ΤΩ (ΕΝ .....
Ω ΚΑΙ ΤΟΙΣ ΑΛΛΟΙΣ ΘΕΟΙΣ ΟΙΣ ΠΑΤΡΙΟΝ ΗΝ (ΕΝ Τ . . . . . ΤΟΥ ΔΙΟΝΥΣΟΥ ΑΓΑΘΗ ΤΥΧΗ ΔΕΔΟΧΘΑΙ ΤΩ ΔΗΜΩ ΤΑ ΜΕΝ ΑΓΑΘΑ ΔΕΧΕΣΘΑΙ Α ΑΠΑΓ(ΓΕΛΛΕΙ ΓΕΓΟΝΕ
ΝΑΙ Ο ΚΟΣΜΗΤΗΣ ΕΝ ΤΟΙΣ ΙΕΡΟΙΣ ΟΙΣ ΕΘΥΕΝ ΕΦ ΥΓΙΕΙΑΙ ΚΑΙ ΣΩΤΗΡΙΑ ΤΗΣ ΤΕ ΒΟΥΛΗΣ ΚΑΙ ΤΟΥ ΔΗΜΟΥ ΚΑΙ ΠΑΙΔΩΝ ΚΑΙ ΓΥΝΑΙΚΩΝ ΚΑΙ ΤΩΝ ΦΙΛΩΝ ΚΑΙ ΣΥΜΜΑΧΩΝ
ΤΟΥ ΔΗΜΟΥ ΤΟΥ ΑΘΗΝΑΙΩΝ ΕΠΑΙΝΕΣΑΙ ΔΕ ΤΟΝ ΚΟΣΜΗΤΗΝ ΕΥΔΟ)ΞΟΝ ΕΥΔΟΞΟΥ ΑΧΕΡΔΟΥΣΙΟΝ ΚΑΙ ΤΟΥΣ ΕΦΗΒΟΥΣ ΕΥΣΕΒΕΙΑΣ ΕΝΕΚΕΝ ΤΗΣ ΠΡΟΣ ΤΟΥΣ ΘΕ
ΟΥΣ ΚΑΙ ΦΙΛΟΤΙΜΙΑΣ ΤΗΣ ΠΡΟΣ ΤΗΝ ΒΟΥΛΗΝ ΚΑΙ ΤΟΝ ΔΗΜΟΝ ΚΑΙ ΣΤΕ(ΦΑΝΩΣΑΙ ΚΙΤΤΟΥ ΣΤΕΦΑΝΩΙ ΕΠΕΙΔΗ ΚΑΙ ΠΡΟΝΟΟΥΜΕΝΟΙ ΤΗΣ ΠΡΟΣ ΤΟΥΣ ΘΕΟΥΣ ΕΥΣΕΒΕΙ
ΑΣ ΚΑΙ ΠΡΟΑΙΡΟΥΜΕΝΟΙ ΕΠΙΚΟΣΜΕΙΝ ΤΟΝ ΝΑΟΝ ΤΟΥ ΔΙΟ(ΝΥΣΟΥ ΑΝΑΤ)ΕΘΗΚΑΣΙ ΤΩΙ ΘΕΩΙ ΦΙΑΛΗΝ ΑΠΟ ΔΡΑΧΜΩΝ ΕΚΑΤΟΝ ΚΑΛΛΙΣΤΟΝ ΥΠΟΔΕΙΓΜΑ ΤΗΣ ΙΔΙ
ΑΣ ΦΙΛΑΓΑΘΙΑΣ ΤΟΙΣ ΜΕΘ ΕΑΥΤΟΥΣ ΑΠΟΛΕΙΠΟΝΤΕΣ ΑΝΑΓΡΑΨΑΙ ΔΕ ΤΟ ΔΕ ΤΟ ΨΗΦΙΣΜΑ ΕΙΣ ΣΤΗΛΗΝ ΛΙΘΙΝΗΝ ΚΑΙ ΣΤΗΣΑΙ ΟΥ ΑΝ ΑΥΤΟΙΣ ΕΠΙΤΗΔΕΙΟΝ ΕΙΝΑΙ ΔΟΚΗ
ΑΓΑΘΗ ΤΥΧΗ ΕΠΙ ΑΡΙΣΤΑΡΧΟΥ ΑΡΧΟΝΤΟΣ ΕΠΙ ΤΗΣ ΚΕΚΡΟΠΙΔΟΣ ΕΝΔΕΚΑΤΗΣ ΠΡΥΤΑΝΕΙΑΣ Η ΤΕΛΕΣΤΗΣ ΜΗΔΕΙΟΥ ΠΑΙΑΝΙΕΥΣ ΕΓΡΑΜΜΑΤΕΥΕΝ ΘΑΡΓΗΛΙΩΝΟΣ ΕΚΤΗ
ΕΠΙ ΔΕΚΑ ΕΚΤΗ ΚΑΙ ΔΕΚΑΤΗ ΤΗΣ ΠΡΥΤΑΝΕΙΑΣ ΕΚΚΛΗΣΙΑ ΕΝ ΤΩ ΘΕΑΤΡΩΙ ΕΝ ΔΙΟΝΥΣΟΥ ΤΩΝ ΠΡΟΕΔΡΩΝ ΕΠΕΨΗΦΙΣΕΝ ΣΤΡΑΤΟΦΩΝ ΣΤΡΑΤΟΚΛΕΟΥΣ ΣΟΥΝΙΕΥΣ ΚΑΙ
ΣΥΜΠΡΟΕΔΡΟΙ ΕΔΟΞΕΝ ΤΩ ΔΗΜΩ ΕΠΙΓΟΝΟΣ ΔΗΜΗΤΡΙΟΥ ΠΕΙΡΑΙΕΥΣ ΕΙΠΕΝ ΥΠΕΡ ΩΝ ΑΠΑΓΓΕΛΛΕΙ Ο ΚΟΣΜΗΤΗΣ ΤΩΝ ΕΦΗΒΩΝ ΕΥΔΟΞΟΣ ΕΥΔΟΞΟΥ ΑΧΕΡΔΟΥΣΙΟΣ
ΥΠΕ(Ρ ΤΗΣ ΘΥΣΙΑΣ ΗΣ ΕΘΥΣΕΝ ΜΕΤΑ ΤΩΝ ΕΦΗΒΩΝ ΤΩ ΔΙΟΝΥΣΩ ΚΑΙ ΤΟΙΣ ΑΛΛΟΙΣ ΘΕΟΙΣ ΟΙΣ ΠΑΤΡΙΟΝ ΗΝ ΕΝ ΤΗ ΠΟΜΠΗ ΤΟΥ ΔΙΟΝΥΣΟΥ ΑΓΑΘΗ ΤΥΧΗ ΔΕΔΟΧΘΑΙ ΤΩΙ ΔΗ
ΜΩ) ΤΑ ΜΕΝ ΑΓΑΘΑ ΔΕΧΕΣΘΑΙ ΑΠΑΓΓΕΛΛΕΙ Ο ΚΟΣΜΗΤΗΣ ΓΕΓΟΝΕΝΑΙ ΕΝ ΤΟΙΣ ΙΕΡΟΙΣ ΟΙΣ ΕΘΥΕΝ ΕΦ ΥΓΙΕΙΑΙ ΚΑΙ ΣΩΤΗΡΙΑΙ ΤΗΣ ΤΕ ΒΟΥΛΗΣ ΚΑΙ ΤΟΥ ΔΗΜΟΥ ΚΑΙ ΠΑ
Ι)ΔΩΝ ΚΑΙ ΓΥΝΑΙΚΩΝ ΚΑΙ ΤΩΝ ΦΙΛΩΝ ΚΑΙ ΣΥΜΜΑΧΩΝ ΤΟΥ ΔΗΜΟΥ ΤΟΥ ΑΘΗΝΑΙΩΝ ΕΠΑΙΝΙΝΕΣΑΙ ΔΕ ΤΟΝ ΚΟΣΜΗΤΗΝ ΕΥΔΟΞΟΝ ΕΥΔΟΞΟΥ ΑΧΕΡΔΟΥΣΙΟΝ ΚΑΙ ΤΟΥΣ
ΕΦΗ(ΒΟΥΣ ΕΥΣΕΒΕΙΑΣ ΕΝΕΚΕΝ ΤΗΣ ΠΡΟΣ ΤΟΥΣ ΘΕΟΥΣ ΚΑΙ ΦΙΛΟΤΙΜΙΑΣ ΤΗΣ ΠΡΟΣ ΤΗΝ ΒΟΥΛΗΝ ΚΑΙ ΤΟΝ ΔΗΜΟΝ ΚΑΙ ΣΤΕΦΑΝΩΣΑΙ ΚΙΤΤΟΥ ΣΤΕΦΑΝΩΙ ΕΠΕΙ
ΔΗ) ΚΑΙ ΠΡΟΝΟΟΥΜΕΝΟΙ ΤΗΣ ΠΡΟΣ ΤΟΥΣ ΘΕΟΥΣ ΕΥΣΕΒΕΙΑΣ ΚΑΙ ΠΡΟΑΙΡΟΥΜΕΝΟΙ ΕΠΙΚΟΣΜΕΙΝ ΤΟΝ ΝΑΟΝ ΤΟΥ ΔΙΟΝΥΣΟΥ ΑΝΑΤΕΘΕΙΚΑΣΙΝ ΤΩΙ ΘΕΩ ΦΙΑΛΗΝ ΑΠΟ
ΔΡΑΧΜΩΝ ΕΚΑΤΟΝ ΚΑΛΛΙΣΤΟΝ ΥΠΟΔΕΙΓΜΑ ΤΗΣ ΙΔΙΑΣ ΦΙΛΑΓΑΘΙΑΣ ΤΟΙΣ ΜΕΘ ΕΑΥΤΟΥΣ ΑΠΟΛΕΙΠΟΝΤΕΣ ΑΝΑΓΡΑΨΑΙ ΔΕ ΤΟ ΔΕ ΤΟ ΨΗΦΙΣΜΑ ΕΙΣ ΣΤΗΛΗΝ
ΛΙΘΙΝΗΝ ΚΑΙ ΣΤΗΣΑΙ ΟΥ ΑΝ ΑΥΤΟΙΣ ΕΠΙΤΗΔΕΙΟΝ ΕΙΝΑΙ ΔΟΚΗ

| Η ΒΟΥΛΗ Ο ΔΗΜΟΣ | Η ΒΟΥΛΗ Ο ΔΗΜΟΣ | Η ΒΟΥΛΗ Ο ΔΗΜΟΣ | Ο ΔΗΜΟΣ ΣΑΛΑΜΙΝΙΩΝ | Η ΒΟΥΛΗ Ο ΔΗΜΟΣ |
|---|---|---|---|---|
| ΤΟΝ ΚΟΣΜΗΤΗΝ ΕΥΔΟΞΟΝ ΕΥΔΟΞΟΥ ΑΧΕΡΔΟΥΣΙΟΝ ΚΑΙ ΤΟΥΣ ΕΦΗΒΟΥΣ | ΤΟΥΣ ΕΦΗΒΟΥΣ | ΤΟΝ ΚΟΣΜΗΤΗΝ ΕΥΔΟΞΟΝ ΕΥΔΟΞΟΥ ΑΧΕΡΔΟΥΣΙΟΝ | ΤΟΝ ΚΟΣΜΗΤΗΝ ΕΥΔΟΞΟΝ ΕΥΔΟΞΟΥ ΑΧΕΡΔΟΥΣΙΟΝ | ΤΟΝ ΚΟΣΜΗΤΗΝ ΕΥΔΟΞΟΝ ΕΥΔΟΞΟΥ ΑΧΕΡΔΟΣΙΟΝ ΚΑΙ ΤΟΥΣ ΕΦΗΒΟΥΣ |

ΠΙΝΑΞ Γ'.

# ΟΙ ΕΦΗΒΕ(ΥΣΑΝΤΕΣ ΕΠΙ ΑΡΙΣΤΑΡΧΟΥ ΑΡΧ)ΟΝΤΟΣ

........
........
........
........
........
........
........
........
........
........
........
........
........
........
........
....ΕΥΣ
....ΕΥΣ
........

ΕΡΕΧΘ(ΕΙΔΟΣ
ΔΙΟΝΥΣΙΟΣ ΔΙΟΝΥΣΙΟΥ ...............
ΑΡΧΕΔΗΜΟΣ ΠΟΛΥΕΥΚΤΟΥ ..........
ΜΕΝΑΝΔΡΟΣ ΠΡΩΤΟΓΕΝΟΥ .. ........
ΝΙΚΟΜΑΧΟΣ ΣΩΣΙΓΕΝΟΥ ............
ΘΕΟΔΟΣΙΟΣ ΓΛΑΥΚΙ(ΠΠΟΥ............
ΝΙΚΟΚΛΗΣ ΓΟΡΓΙ(ΟΥ ................
ΣΩΠΑΤΡΟΣ ΜΕ(Ν ....................
ΑΙΓΕΙ)ΔΟΣ
ΜΝΗΣΙΚ(ΛΗΣ.........................
ΔΙΩΝ ...................................
ΑΡΧ(ΕΛΑΟΣ...........................
.........................................
Φ( ........................... ΦΛΥ)ΕΥΣ
.................................ΦΛΥ)ΕΥΣ
.................... ΔΙΟ)ΔΩΡΟΥ ΦΛΥΕΥΣ
...........ΑΡΙΣΤΟΒΟΥΛΟΥ ΑΦΙΔΝΑΙΟΣ
ΜΝΗΣ(ΑΓΟΡ)ΑΣ ΜΝΑΣΕΟΥ ΠΡΟΣΠΑΛΤΙΟΣ
ΜΕΝΕΚ)ΛΗΣ ΜΕΝΕΔΗΜΟΥ ΘΗΜΑΚΕΥΣ
Κ)ΡΙΤΟΒΟΥΛΟΣ ΗΓΗΣΙΑ ΑΦΙΔΝΑΙΟΣ

.........................................
.........................................
.........................................
.........................................
.........................................
.........................................
.........................................
.........................................
.........................................
.........................................
.........................................
ΓΛΑΥΚΙΑΣ .......... ΝΟΣ ΑΛΑΙΕΥΣ
ΑΛΚΜΑΝ...... ΙΑΝΟΣ ΣΥΒΑΛΗΤΤΙΟΣ
ΣΑΤΥΡΙΩΝ ΣΩΣΘΕΝΟΥ ΣΥΒΑΛΗΤΤΙΟΣ
ΚΟΝΩΝ ΑΓΑΘΟΚΛΕΟΥΣ ΞΥΠΕΤΑΙΩΝ
ΔΙΟΔΩΡΟΣ ΔΙΟΔΩΡΟΥ ΜΕΛΙΤΕΥΣ
ΙΠΠΟΘ)ΩΝΤΙΔΟΣ
ΦΑΝΙΑΣ (Κ)ΑΛΛΙΣΘΕΝΟΥ ΚΕΙΡΙΑΔΗΣ
ΒΑΚΧΙΟ)Σ ΜΗΤΡΟΒΙΟΥ ΕΚ ΚΟΙΛΗΣ
ΛΕΩΝ Σ)ΩΠΑΤΡΟΥ ΠΕΙΡΑΙΕΥΣ
ΜΗΝΟΦΩ)Ν ΤΕΛΕΣΤΟΥ ΕΡΟΙΑΔΗΣ

ΑΚΑΜΑΝ)ΤΙΔΟΣ
..................... Ε)ΥΣ ΣΦΗΤΤΙΟΣ
.....................ΕΟΥΣ ΣΦΗΤΤΙΟΣ
........................... ΕΙΤΕΑΙΟΣ
.......................... Υ ΙΦΙΣΤΙΑΔΗΣ
........................... ΙΦΙΣΤΙΑΔΗΣ
ΟΙΝΗΙΔΟΣ
...................... ΕΝΟΥ ΑΧΑΡΝΕΥΣ
.......... ΕΠΑΓ)ΑΘΟΥ ΕΠΙΚΗΦΙΣΙΟΣ
...................... ΣΤΟΥ ΘΡΙΑΣΙΟΣ
............... ΑΡΙΣΤΟΝΙΚΟΥ ΟΗΘΕΝ
............ Σ ΛΕΩΦΑΝΟΥ ΛΑΚΙΑΔΗΣ
ΑΡΙΣΤΟ)ΒΟΥΛΟΣ ΑΓΑΘΟΚΛΕΟΥΣ ΘΡΙΑΣΙΟΣ
........ ΛΟΣ ΔΙΟΝΥΣΙΟΥ ΑΧΑΡΝΕΥΣ
ΚΕΚΡΟΠΙΔΟΣ
ΔΗ)ΜΟΦΙΛΟΣ ΔΗΜΟΦΙΛΟΥ ΑΛΑΙΕΥΣ
ΠΟΠ)ΛΙΟΣ ΛΕΥΚΙΟΥ ΜΕΛΙΤΕΥΣ
ΠΑΡΜΕΝ)ΙΣΚΟΣ ΛΥΣΩΝΟΣ ΑΙΓ(ΙΛΙΕΥΣ
........ΚΚΟΣ ΑΡΤΕΜΙΔΩΡΟΥ..........

ΜΗΝΟΦΙΛΟΣ ΜΗΝΟΦΙΛΟΥ (ΠΕΙΡΑΙΕΥΣ ΑΡΚΕΘ
ΑΛΚΕΤΗΣ ΘΡΑΣΥΦ(ΩΝΤΟΣ ΠΕΙΡΑΙΕΥΣ ΑΡΤΕΜ
ΡΟΔΩΝ ΡΟΔΩΝΟΣ (ΑΧΕΡΔΟΥΣΙΟΣ ΑΘΗΝΟΔ
ΞΕΝΟΚΡΑΤΗΣ ΑΣΚΛΗ(ΠΙΑΔΟΥ ΕΛΕΥΣΙΝΙΟΣ ΙΔΙΩΝ
ΔΙΟΝΥΣΙΟΣ ΠΑΣΙΑΔ(ΟΥ ΔΕΚΕΛΕΥΣ ΣΥΒΟΥΛΙ
ΞΕΝΩΝ ΑΣΚΛΗΠΙΑΔΟΥ ..............
ΑΙΑΝΤΙΔ(ΟΣ
ΛΥΣΙΘΕΟΣ ΑΡΙΣΤ(ΟΚΡΑΤΟΥ ........ ΔΩ
ΑΡΙΣΤΕΑΣ ΑΡΙΣΤ ....................
ΤΙΜΟΞΕΝΟΣ ......................
ΘΕΟΔΩΡΟΣ .........................
ΑΝΤΙΛΕΩΝ ..........................
ΧΡΕΜΩΝΙΔ(ΗΣ .......................
ΖΩΙΛΟΣ ..............................
ΕΡΜΑΙ.................................
ΤΙΜ ....................................
.........................................
.........................................
Η(Ρ)ΩΔΗΣ ..........................
ΙΕΡΩΝ ΙΕΡΩΝ(ΟΣ ..................
ΔΗΜΗΤΡΙΟΣ ΔΩΡΟΘΕΟΥ...........
ΦΥΣΚΙΩΝ ΦΥΣΚΙΩΝΟΣ ΦΑΛΗΡΕΥΣ
ΑΠΟΛΛΟΔΩΡΟΣ ΑΠΟΛΛΟΔΩΡΟΥ ΡΑ(ΜΝΟΥΣΙΟΣ
ΑΡΤΕΜΩΝ ΙΕΡΩΝΟΣ ΡΑΜΝΟΥΣΙΟΣ
ΑΝΤΙΟΧΙΔΟΣ
ΘΗΡΩΝ ΝΙΚΩΝΟΣ ΑΝΑΦΛΥΣΤΙΟΣ
ΠΑΓΚΡΑΤΗΣ ΠΥΡΡΟΥ ΚΡΙΩΕΥΣ

Η ΒΟΥΛΗ Ο ΔΗΜΟΣ
ΤΟΝ ΟΠ)ΛΟΜΑΧΟΝ
ΗΡΟΔΟΤΟ(Ν
ΕΙΤΕΑΙΟΝ

Η ΒΟΥΛΗ Ο ΔΗΜ)ΟΣ
ΤΟΝ (ΑΚΟΝΤΙΣΤΗΝ)
ΔΙΟΝΥΣΙΟΝ
ΣΦΑΙΡΟΥ
ΑΖΗΝΙΕΑ

Η ΒΟΥΛΗ Ο ΔΗΜΟΣ
ΤΟΝ ΤΟΞΟΤΗΝ
ΜΕΝΕΣΤΡΑΤΟΝ
ΑΣΚΛΗΠΙΑΔΟΥ
ΤΡΙΚΟΡΥΣΙΟΝ

Η ΒΟΥΛΗ Ο ΔΗΜΟΣ
ΤΟΝ ΑΦΕΤΗΝ
ΚΑΛΛΙΑΝ
ΑΙΓΙΛΙΕΑ

(Η ΒΟΥΛΗ Ο ΔΗΜΟΣ)
(ΤΟΝ ΓΡΑΜΜΑΤΕΑ)
(ΚΑΛΛΙΑΔΗΝ)
ΕΠΙΓ(ΕΝΟΥ
ΣΤΕΙ(ΡΙΕΑ

(Η ΒΟΥΛΗ Ο ΔΗΜΟΣ)
ΤΟΝ ΥΠΗΡΕΤΗΝ
ΕΠΙΓΟ)ΝΟΝ
ΔΗΜΗ(ΤΡΙΟΥ
ΠΕΙΡΑΙΕΑ

Γέγραπται ἐπὶ στήλης λίθου τοῦ Ὑμηττοῦ. Εὑρέθη τὸ 1860 κατὰ τὰ τέλη Ὀκτωβρίου καὶ ἀρχὰς Νοεμβρίου ἐν διαφόροις κομματίοις εἰς τὰς κατὰ τὸ Γυμνάσιον τοῦ Πτολεμαίου ἀρχαιολογικὰς ἀνασκαφὰς τῆς Ἀρχαιολογικῆς Ἑταιρίας. Τὸ ὕψος τῆς στήλης, ἥτις σύγκειται ἐκ 34 κομματίων, (ὅσα μέχρι τῆς σήμερον ἀνεκαλύφθησαν) εἶναι 2 μέτρων, τὸ πλάτος 80 0/0, καὶ τὸ πάχος 14 0/0. Τὰ γράμματα δὲν εἶναι κιονιδὸν ἐγχαραγμένα. Εἰς τινὰς γραμμὰς ἐμπεριέχονται γράμματα 86, εἰς ἄλλας δὲ 93, εἰς ἄλλας 103 καὶ εἰς ἑτέρας 120, 126 καὶ ἔτι πρός. Τὸ ψήφισμα περὶ ἐφήβων μετὰ τὴν κεφαλίδα ΘΕΟΙ ἄρχεται ἐκ τοῦ ὀνόματος τοῦ Ἄρχοντος Ἀγαθοκλέους, ἄλλος δὲ ἐστὶν οὗτος τοῦ ἄρξαντος τὸ 4 ἔτος τῆς 105 Ὀλυμπιάδος· ἴσως ὁ αὐτὸς τῷ Ἰωσήπῳ (Ἰου. Ἀρχ. 14, 8, 5) ἀναφερομένῳ, ἄρξαντι πιθανῶς κατὰ τὴν 122 Ὀλυμπιάδα.

Ὁ εἰς τὰς γραμμὰς 4 καὶ 24 σημειούμενος Ἄρχων Ἀρίσταρχος οὐχ' εὕρηται ἐν τοῖς γνωστοῖς καταλόγοις τῶν Ἐπωνύμων Ἀρχόντων.

Ἐκ τῆς ἐκφράσεως « θύσαντες ταῖς ἐγγραφαῖς τὰ εἰσητήρια » ἀναφερομένης εἰς τὴν 4 γραμμὴν ἐξάγεται, ὅτι ψηφίσματα ῥητῶς διέταττον θύειν τῇ Ἑστίᾳ, ὅτε ἀνεγράφοντο τὰ εἰσητήρια διὰ τὴν τάξιν τῶν ἐφήβων.

Εἰς τὴν 5 γραμμὴν τῆς παρούσης ἐπιγραφῆς ἀναφέρονται τὰ αὐτὰ περὶ τῆς θυσίας εἰς τὴν ἐν Πρυτανείῳ κοινὴν Ἑστίαν, καὶ περὶ τοῦ κοσμητοῦ καὶ τῶν ἐξηγητῶν, ὡς ἀναφέρεται καὶ εἰς τὴν 5 γραμμὴν τῆς ἐπιγραφῆς ἐκδοθείσης ὑπ' ἀριθ. 4041 ἐν τῇ Ἀρχαιολογικῇ Ἐφημερίδι, ὥσπερ ἀναφέρεται καὶ ἡ πρὸς τὴν Ἀγροτέραν Ἄρτεμιν πομπὴ σημειουμένη εἰς τὴν 6 γραμμὴν τῆς τε παρούσης ἐπιγραφῆς καὶ τῆς ὑπ' ἀριθ. 4041. Καὶ ἐκ τῆς ἐπιγραφῆς ταύτης πληροφορούμεθα, ὅτι ὁ Ἱερεὺς τοῦ Δήμου καὶ τῶν Χαρίτων ἦν εἷς καὶ ὁ αὐτός, διότι καὶ τὰ τεμένη τῶν δύω τούτων θεοτήτων ἦσαν συνεχῆ. (Περὶ τούτων ἀναφέραμεν καὶ εἰς τὰς ὑπ' ἀριθ. 2958 καὶ 3923 ἐπιγραφὰς τῆς Ἀρχαιολογικῆς Ἐφημερίδος), εὑρίσκετο δὲ παρὰ τὴν Πνύκα καὶ τὸ Ἱερὸν τῶν Ὡρῶν. (Παράβαλε καὶ Ἰωσ. Ἀρχ. Ἰουδ. Β. 4, κεφ. 16). Ἡ πλησίασις τῶν τεμενῶν τούτων οὐκ ἦν ἄνευ λόγου. Τὴν εὐφημίαν ταύτην ὁ Ἀριστοφάνης παίζων ἐκάλεσε τὸν κατὰ τοὺς χρόνους αὐτοῦ ἐκπίπτοντα τῆς ἀρχαίας δόξης Δῆμον τῶν Ἀθηναίων «Δῆμον Πνυκίτην δύσκολον γερόντιον» τὸ πρῶτον ἀντίθετον τῆς Χάριτος, ὥσπερ τὸ δεύτερον (γερόντιον) ἀντίθετον τῆς Ὥρας. Ἡ δὲ φράσις « ὑπαπήντησαν δὲ τοῖς ἱεροῖς ἐν ὅπλοις μέχρι τῆς Ἠχοῦς καὶ παρέπεμψαν αὐτὰ καὶ τὸν Ἴακχον » δεικνύει τὴν ὕπαρξιν ἱεροῦ καὶ τεμένους τῆς Ἠχοῦς (συνεύνου τοῦ Πανός), κειμένου κατὰ τὴν ἱερὰν ὁδὸν καὶ τὸ Ποικίλον Ὄρος, ἔνθα παστοὶ τῷ βράχῳ λελατόμηνται καὶ ἐπιγραφαὶ ἐπ' αὐτῶν ἀναγινώσκονται καὶ ἄλλαι καὶ αἱ παροῦσαι ΠΑΝΙ καὶ ΝΥΜΦΑΙΣ. ΦΙΛΗΙ ΑΦΡΟΔΙΤΗΙ. ΑΝΔΡΙΑΙ ΑΦΡΟΔΙΤΗ: κ.τ.λ. Ἡ θέσις αὕτη ἐστὶ καταλληλοτάτη διὰ τὸ ἱερὸν τῆς Ἠχοῦς, διότι ὁ καταρράκτης οὗτος οὐδός, ἔχων ἀμφοτέρωθεν ὄρη, ἀντηχεῖ πανταχόθεν, καὶ τὸ μέρος, τὸ πρὸς νότον τῆς ἱερᾶς ὁδοῦ, νῦν *κτυπητὸν* καλεῖται, ὡς ἐξηγητικὸν τῆς Ἠχοῦς· καὶ τὸ ὑπερκείμενον Αἰγάλεον ὄρος, οὗ μυχοὶ πολύγναμπτοι φθάνουσιν ἀντίον τῇ Σαλαμῖνι καὶ Ψυτταλίᾳ, τῷ Πανὶ ἀφιέρωτο, καὶ Πανὸς ἄδυτα καὶ Βωμοὶ ἐνταῦθα ἦσαν, καὶ ἴχνη τούτων σώζονται, καὶ τὴν Ψυτταλίαν ὁ Αἰσχύλος περιγράφων ἐν Πέρσαις φησίν, ἣν ὁ φιλόχορος Πὰν ἐμβατεύει. Ἐκ δὲ τῆς ἐκφράσεως « πρὸς τοὺς ξένους ἐφήβους » (γραμ. 9) πληροφορούμεθα (ὥσπερ καὶ ἐκ τῆς εἰς τὰ κάτω μέρη τῆς στήλης ἐπιγραφῆς τῶν ὀνομάτων τούτων) ὅτι καὶ ἐκ τῶν ἄλλων πόλεων ἔφηβοι ἤρχοντο εἰς τὰς Ἀθήνας, χάριν εὐμαθήσεως, καὶ οὗτοι συναγελάζοντο τοῖς τῶν Ἀθηναίων ἐφήβοις συνδέοντες οὕτως ἐκ τῆς ἔτι νεανικῆς αὐτῶν ἡλικίας φιλίαν καὶ συμπάθειαν, ὅπως χρησιμεύσωσι ταῦτα ἐν ταῖς καιρικαῖς περιστάσεσι τοῦ βίου.

Εἰς τὴν 9 γραμμὴν γράφει ΕΝΟΙ, ἀντὶ ΞΕΝΟΙ.

Ἡ εἰς τὴν 10 γραμμὴν φράσις « συνεξήγαγον καὶ τὴν Παλλάδα μετὰ τῶν Γεννητῶν (1) » ἀναφέρεται καὶ

---

(1) Γεννηταὶ καὶ Γενηταὶ (δι' ἑνὸς Ν) ἐκάλουν οἱ Ἀττικοὶ τοὺς τοῦ αὐτοῦ γένους μετέχοντας. Δημ. Ἔρεσις πρὸς Εὐβουλίδην, Ἀπόλλωνος Πατρῴου καὶ Διὸς Ἑρκείου. Ὅρα τὰ περὶ τούτων ἐν τῷ Ἐτυμολ. καὶ Πολυδ. Β 8. κεφ. 9. Ἡσύχ. Γεννῆται, Σουΐδ. Γεννῆται, Εὐσταθ. Ἰλ. Β. Ἁρποκρατ. καὶ Ἰσαίῳ. Ἦσαν δὲ οὗτοι ὡς οἱ παρ' ἡμῖν ἀδελφοποιητοί· ἐθεωροῦντο δὲ ὡς ἀδελφοί, ὡς θηλάσαντες, εἰ καὶ ἅπαξ, ἐκ τῆς αὐτῆς μητρός, ὡς καὶ ἡμεῖς τοὺς τοιούτους ὡς ἀδελφοὺς θεωροῦμεν, εἰ καὶ ἑτέρου θρησκεύματος ὑπάρξαντες, ἀλλὰ καὶ πρὸ τῆς Ἑλληνικῆς Ἐπαναστάσεως οὕτως ἐθεώρουν ἐν μέρει οἱ ἐν Ἀθήναις Τοῦρκοι τοὺς ὁμογαλάκτους Χριστιανούς, ὡς καὶ οὗτοι τοὺς Τούρκους.

εἰς τὴν 11 γραμμὴν τῆς ἑπομένης ἐπιγραφῆς τῆς Ἀρχαιολ. Ἐφημερίδος, ἔνθα καθαρότερον ἐξηγεῖται «συνεξήγαγον καὶ τὴν Παλλάδα Φαληροῖ, κἀκεῖθεν πάλιν συνεπήγαγον μετὰ φωτὸς (ἤτοι τὴν νύκτα) μετὰ πάσης εὐκοσμίας». Ἡ τελετὴ αὕτη ἐγίνετο (ὡς ἐγὼ νομίζω) ἐν τοῖς Πλυντηρίοις, τότε τὸ ἀρχαῖον ἄγαλμα τῆς Παλλάδος ἐνεδυμένον ἐπήγαγον ἐφ' ἁμάξης πομπῇ Φαληροῖ ἐκεῖ ἐξέδυον τὰ ἱμάτια αὐτοῦ ὅπως πλύνωσι ταῦτα, τὸ δὲ ξόανον ἐν σκότει μετὰ φωτὸς μόνου, εὐσεβείας χάριν, (ὅπως μή, ἐκ τοῦ θεάματος τοῦ ἐλαΐνου ξύλου, ἐξ οὗ τὸ Παλλάδιον, προξενηθῇ περιφρόνησις τῇ λατρείᾳ (1) συνεπήγαγον εἴς τινα τῶν ἀρχαίων αὐτοῦ ναῶν ἐν τῷ Ἐρεχθείῳ, συνήποντο δὲ τῇ τελετῇ ταύτῃ οἱ Γεννῆται καὶ τοῦτο οὐκ ἄνευ σκοποῦ. Οἱ Γεννῆται οὗτοι ἦσαν τῆς αὐτῆς γενεᾶς τῶν Ἀμυνανδριδῶν, περὶ ὧν εὑρέθη ἀναγραφὴ πρὸς τὸ δυτικὸν τοῦ Ἐρεχθείου, ἣν ἐδημοσιεύσαμεν ὑπ' ἀριθ. 186, σελ. 184 ἐν τῇ Ἀρχαιολ. Ἐφημερίδι, ἀναφέρουσα τὰ ὀνόματα ἐκείνων. Ἡ δὲ φράσις «εἰσήγαγον δὲ καὶ τὸν Διόνυσον ἀπὸ τῆς ἐσχάρας» σημαίνει ὅτι κατὰ τὴν ἑορτὴν τῶν Διονυσίων ἐξῆγον τὸ ἄγαλμα αὐτοῦ ἀπὸ τὸ σπήλαιον, τὸ ὑπὸ τὸ Κιμώνειον τεῖχος τῆς Ἀκροπόλεως, καὶ ἔσταινον αὐτὸ πρὸ τῆς ἐσχάρας, ἥτις ἦν ἐν τῷ Ληναίῳ, ἐποίουν δὲ τοῦτο ὅπως ἡ ἑορτὴ εὐθυμότερον γένηται παρουσιαζομένου τοῦ θεοῦ, ἔκλειον δὲ τότε τὴν θύραν τοῦ σπηλαίου· μετὰ δὲ τὴν ἑορτὴν τὸ ἄγαλμα τοῦτο μετέφερον ἐντὸς τοῦ ναοῦ. Ἐτιμᾶτο δὲ πρὸς τούτοις ὁ Διόνυσος καὶ ἐν Πειραιεῖ, διότι οἱ ναυτικοί, ὅτε εἰς ξηρὰν διαμένουσι τῷ Διονύσῳ πρὸ πάντων συγχρῶνται, διὸ ναὸς αὐτοῦ ἦν ἐκεῖ, πρὸς ὃν πολλαὶ συντεχνίαι συνήρχοντο· ὅθεν εἴς τινα τῶν ἐν Πειραιεῖ εὑρεθέντων ψηφισμάτων ἀναφέρονται συνεχῶς αἱ φράσεις «οἱ περὶ τὸν Διόνυσον τεχνῖται, οἱ περὶ τὸν Διόνυσον θιασῶται·» ὅρα καὶ τὰς ἐπιγραφὰς 586, 2583 καὶ 2584 ἐν τῇ Ἀρχαιολ. Ἐφημερίδι. Ὁ ναὸς οὗτος πιθανῶς ἦν παρὰ τὴν Μακρὰν Στοάν, ἔνθα καθέστηκεν ἀγορὰ τοῖς ἐπὶ θαλάσσῃ.

Ἡ ἐν τῇ 12 γραμμῇ ἀναφερομένη φράσις «ἔθυσαν δὲ ἐν τοῖς Γαλαξίοις τ(ῇ Μητρὶ) τῶν θεῶν» δεικνύει, ὅτι διὰ τῆς θυσίας ταύτης ἀπέδιδον οἱ ἔφηβοι εὐχαριστίας τῇ μητρὶ τῶν θεῶν εἰκονίζοντες διὰ ταύτης τὴν μητρικὴν γαλακτοτροφίαν αὐτῶν. Περὶ τοῦ ἐνταῦθα ἀναφερομένου Διογένους (γραμ. 13) ἀνεφέραμεν καὶ ἐν τῇ ὑπ' ἀριθ. 4051 (γραμ. 14) ἐπιγραφῇ τῆς Ἀρχαιολ. Ἐφημερίδος. Τοῦτον ἡ παροῦσα ἐπιγραφὴ εὐεργέτην καλεῖ, ἴσως διότι οὗτος γυμνάσιόν τι κατεσκεύασεν, ἢ ὑδρεῖόν τι, χρήσιμον τῷ λουτρῷ τοῦ γυμνασίου, ἢ τὸ γυμνάσιον τοῦτο χρηματικοῖς κεφαλαίοις ἐπροίκισε, δι' ὧν ἐωνοῦντο τὰ πρὸς τὰ γυμνάσια ἀναγκαῖα. Ἡ φράσις «ἐξῆλθον πλεονάκις καὶ εἰς τὴν χώραν ἐν ὅπλοις εὐτάκτως ἕνεκεν τοῦ παρακολουθεῖν τοῖς ὁρίοις τῆς Ἀττικῆς οὐθ' ἕνα λυποῦντες τῶν ἐχόντων τὰ χωρία (γραμ. 14 καὶ 15) ἀναφέρεται οὕτως εἰς τὴν ὑπ' ἀριθ. 4041 «συντέλεσαν δὲ καὶ τοὺς δρόμους,» καὶ εἰς τὴν ἐπιγραφὴν ὑπ' ἀριθ. 4042 (γραμμὴ 24) «περι-

---

(1) Ἀθηνᾶς τῆς Ἀγραύλου, διὸ ὁ ναὸς αὐτῆς τότε περιεσχοινίζετο ὅπως μηδεὶς προσίῃ καὶ ἴδῃ τὸ ξόανον γυμνόν, ὃ καλύπτοντες ἀόρατον ἐποίουν· ταῦτα δὲ ἐτέλουν αἱ Πραξιεργίδες, περὶ ὧν ὅρα τὰς ἐπιγραφὰς τῆς Ἀρχαιολογικῆς Ἐφημερίδος ὑπ' ἀριθ. 2870 καὶ 3432. Περὶ δὲ τῶν Πλυντηρίων παράβαλε Πλούτ. Β. Ἀλκ. Πολυδ. ὀνομ. 8, 141. Ξενοφ. Ἑλλ. 1, 4, 12. Σουΐδ. Ἡσύχ. καὶ Ἁρποκρ. εἰς Πλυντήρια.

Ἐπειδὴ ὁ λόγος ἐνταῦθα περὶ τοῦ ἀγάλματος τῆς Ἀθηνᾶς, νομίζω καλόν, ὅπως δώσω πληροφορίας τινὰς περί τινος ἀγαλματίου τῆς θεᾶς ταύτης, εὑρεθέντος πρὸ τριῶν μηνῶν πρὶν τῆς εἰς Ἀθήνας ἐλεύσεως τοῦ μακαρίτου Λενορμᾶν. Ἀφαιρουμένων χωμάτων ἐκ τοῦ ἡμετέρου ἀγροῦ, κειμένου ἐπὶ τῆς Πνυκός, πρὸς ἐπιπέδωσιν τῆς πρὸς τὸ Ἀστεροσκοπεῖον ὁδοῦ, ἀνεφάνησαν ἴχνη ἀρχαίου Ἑρμογλυφείου καὶ στήλη τις ἄξεστος, χρησιμεύουσα ὡς τράπεζα, ἐφ' ἧς ὁ παλαιὸς γλύπτης εἰργάζετο τὰ τῆς τέχνης αὐτοῦ. Ἐρευνῶν τὴν ἐκεῖ λατύπην ἀνευρέθη τὸ ἡμίεργον ἀγαλμάτιον τῆς Ἀθηνᾶς. Ὡς ἔφορος τῶν ἀρχαιοτήτων ἐπιθυμῶν νὰ ἀποφεύγω ὁποιασδήποτε ὑπονοίας ἔθεσα τοῦτο εἰς τὴν ἐν τῷ Θησείῳ ἀρχαιολογικὴν συλλογήν, ἐπὶ θέσεως συνόπτου ὅπως ὑπάρχῃ θεατὸν τοῖς πᾶσιν, καὶ ἀνέφερον ἀμέσως εἰς τὸ Ὑπουργεῖον τὴν ἀνακάλυψιν τούτου. Ἐξήγησα δὲ εἰς πολλοὺς καὶ ἐδημοσίευσα τὸ παριστανόμενον καὶ τὸ ὁμοιόσχημον αὐτοῦ μετὰ τοῦ ἐν τῷ Παρθενῶνι χρυσελεφαντίνου ἀγάλματος κατὰ τὴν περιγραφὴν τοῦ Παυσανίου. Παρατηρήσας δὲ τὸν φύλακα τῆς ἐν τῷ Θησείῳ συλλογῆς, ὅστις ἀφοῦ ἤκουσε τὴν ἐξήγησιν κατέστη περιεργότερος, καὶ φοβηθεὶς μή τις ἀπατήσας αὐτὸν χρήμασι ὑπεξαιρέσῃ τοῦτο, μετέφερον αὐτὸ εἰς τὸ ἐν τῷ Ὑπουργείῳ τῆς Ἐκπαιδεύσεως γραφεῖον μου· ἦτον ἑπομένως γνωστὸν εἰς πολλοὺς τὸ ἀγαλμάτιον τοῦτο, ὡς ἀφομοίωμα τῆς ἐν τῷ Παρθενῶνι Ἀθηνᾶς, ἐπικαλουμένης ἡ *Παρθένος* πρὶν ὁ μακαρίτης Λενορμᾶν ἔλθῃ εἰς Ἀθήνας καὶ πρὶν μοὶ ζητήσῃ ἐγγράφως τὴν ἄδειαν ὅπως λάβῃ διὰ τῆς φωτογραφίας ἀπεικόνισμα τούτου. Αὐτὴ εἶναι ἡ ἀλήθεια, ἥτις παρεμορφώθη δυστυχῶς ἐν τῷ φυλλαδίῳ, ἐπιγραφομένῳ La Minerve du Parthenon par M, Fran. Le-Normant. Paris 1860.

πολ:ῖν ἐν ὅπλοις. » Ἡ δὲ συνήθεια ἐφύλαξε μέχρι τοῦ δε τὰς φράσεις « ἐξῆλθον εἰς τὴν χώραν οὐθ' ἕνα λυποῦντες τῶν ἐχόντων τὰ χωρία » οὕτω λέγομεν ἐπῆγαν εἰς τὴν χώραν, καὶ χωρία λέγομεν τὰς κώμας τῆς Ἀττικῆς, οἷον τὰ χωρία τῶν μεσογείων. Ἡ δὲ φράσις « περιέπλευσαν δὲ εἰς Μουνιχίαν ἐν ταῖς ἱεραῖς ναυσὶν » (γραμ. 15) δεικνύει, ὅτι ἡ Μουνυχία οὐκ ἦν ἐντὸς τοῦ μεγάλου Πειραϊκοῦ λιμένος, ὡς τινες ἐσφαλμένως ἐνόμισαν, ἀλλ' ἐκτὸς αὐτοῦ, ἔνθα ἡ ἀρχαῖα παράδοσις ἐφύλαξε τὴν θέσιν του, διότι εἰ ἐν Πειραιεῖ οὗτος ἦν οὐκ ἂν ἐχρήσαντο τῇ φράσει ταύτῃ «περιέπλευσαν εἰς Μουνιχίαν» ἱερὰς δὲ νῆας καλεῖ ἴσως τὴν Πάραλον καὶ Σαλαμινίαν, καὶ τὰς συνοδευούσας τὰς ἐνιαυσίως εἰς Δῆλον ἐξ Ἀθηνῶν πεμπομένας θυσίας. Ὁμοίως ἡ φράσις « ἔπλευσαν εἰς Σαλαμῖνα καὶ ἐποιήσαντο ἅμιλλαν τῶν πλοίων. » Ἡ ἅμιλλα αὕτη ἀναφέρεται καὶ ἐν τοῖς στίχοις τοῦ ποιητοῦ Πλάτωνος;· ὁ σὸς δὲ τύμβος ἐν καλῷ κεχωσμένος······ χωπόταν ἅμιλλα τῶν νεῶν, θεάσεται. Πλουτ. Β. Θεμιστοκλ. Ὁμοίως τὴν φράσιν « ἔδραμον δὲ καὶ μακρὸν δρόμον ἐξ ἑαυτῶν πρὸς τοὺς ἐν Σαλαμῖνι » ἐφύλαξεν ἡ συνήθεια ἥτις λέγει « ἔδραμον μακρὺν δρόμον· μαρτυρεῖται δὲ ἐκ τῆς **16** γραμμῆς, ὅτι ἐν Σαλαμῖνι ἦν ναὸς οὐ μόνον τοῦ Αἴαντος, ἀλλὰ καὶ τοῦ Ἀσκληπιοῦ πλησίον, διὰ τὸ ὑγιεινὸν τοῦ τόπου, καὶ ἀγῶνες ἐτελοῦντο τούτοις. Ἡ δὲ φράσις « καὶ ἀπήντησαν τοῖς φίλοις καὶ τοῖς συμμάχοις τοῦ Δήμου Ῥωμαίοις » πληροφορεῖ ἡμᾶς, ὅτι κατὰ τοὺς χρόνους (τοὺς μετὰ τὴν **122** Ὀλυμπιάδα) οἱ Ἀθηναῖοι εἶχον συμμαχίαν τοῖς Ῥωμαίοις, οἳ κατὰ τὰς ἐν Ἀθήναις μεγάλας ἑορτὰς ἔπεμπον τοὺς θεωρούς των, καλεῖ αὐτοὺς συμμάχους τοῦ Δήμου, διότι οὗτος κατεῖχεν εἰσέτι τὴν ἐλευθερίαν αὐτοῦ. Σημειωτέα καὶ ἡ φράσις « ἐποιήσαντο νεωλκίας τῶν ἀφράκτων καὶ ἄλλων πλοίων, » ἣ ἀναφέρεται καὶ εἰς τὰς ἑπομένας ἐπιγραφὰς τῆς Ἀρχαιολογικῆς Ἐφημερίδος, δεικνύει δὲ τοῦτο τὴν πρόνοιαν, ἣν οἱ Ἀθηναῖοι ἐποιοῦντο ὅπως εἰς τὰ ναυτικὰ ἑτοιμότατοι ὑπάρχωσιν· λέγων δὲ Δῆμον Ῥωμαίων δεικνύει, ὅτι τὸ ψήφισμα τοῦτο ἐγένετο πρὶν τῆς καταλύσεως τῆς Δημοκρατίας.

Εἰς τὴν **22** γραμμὴν ὁ ἐγχαράκτης τῶν γραμμάτων ἔγραψεν ἐσφαλμένως πειθαρχοῦντες ἀντὶ πειθαρχοῦντας, ὡς ἔγραψε τὴν δοτικὴν κοσμητεῖ ἀντὶ κοσμητῇ, καὶ εἰς τὴν **13** γραμμὴν ἡ δοτικὴ εὐεργέτῃ τῇ ΕΙ γέγραπται.

Οἱ εἰς τὴν **25** γραμμὴν σημειούμενοι γυμνικοὶ ἀγῶνες Ἐλευσινείων, οὗτοι ἐτελοῦντο ἐν τῷ σταδίῳ, τῷ πρὸς τὸ νότιον τῆς Ἐλευσῖνος κειμένῳ παρὰ τὸ ἐκεῖ θέατρον, περὶ οὗ ἀναφέρει ἡ ὑπ' ἀριθ. **4082** ἐπιγραφὴ τῆς Ἀρχαιολογικῆς Ἐφημερίδος.

Εἰς τὴν αὐτὴν γραμμὴν ὁ ἐγχαράκτης τῶν γραμμάτων ἔγραψεν ἐσφαλμένως ΕΛΕΥΝΙΩΝ, ἀντὶ ΕΛΕΥΣΙΝΙΩΝ.

Ὁ εἰς τὴν **26** γραμμὴν ἀναφερόμενος Σπουδίας Καφησίππου Ὀῆθεν, πιθανῶς ἐστὶ τῆς αὐτῆς γενεᾶς τῷ Σπουδίᾳ ἀναφερομένῳ ἐν τῇ ὑπ' ἀριθ. **171** ἐπιγραφῇ τῆς συλλογῆς τοῦ Βοικχίου. Ἀμφότεροι γὰρ τῆς αὐτῆς Φυλῆς ἦσαν τῆς Οἰνηΐδος.

Τὸ εἰς τὴν **27** γραμμὴν σημειούμενον ὄνομα ἀφέτης (καὶ καταπαλταφέτης) ἀναφέρονται καὶ εἰς τὰς ἑπομένας περὶ ἐφήβων ἐπιγραφάς.

Εἰς τὴν **30** γραμμὴν μετὰ τὴν λέξιν ΑΝΑΛΩΜΑ ἐξήλειψαν μέρος αὐτῆς ἐπίτηδες μέχρι τοῦ λόγου Η ΕΥΚΛΗΣ ΞΕΝΑΝΔΡΟΥ καὶ ἔγραψαν μεταγενεστέρως τὰ γράμματα ταῦτα ΑΓΑΘΗ ΤΥΧΗ ΕΠΙ ΑΓΑΘΟΚΛΕΟΥΣ ΑΡΧΟΝΤΟΣ ΕΠΙ ΤΗΣ ΚΕΚΡΩΠΙΔΟΣ ΠΕΜΠΤΗΣ ΠΡΥΤΑΝΕΙΑΣ.

Ὁ εἰς τὴν **31** γραμμὴν σημειούμενος Ἡλιόδωρος, ὡς πρόεδρος, (ἐκ τοῦ τοπικοῦ, τοῦ ὁποίου σώζεται μόνον ἡ τελευταία συλλαβὴ εἰς ἰδης· ἐξ ὅλων δὲ τῶν Δήμων ὁ εἰς ἰδης λήγων Δῆμος τῇ Αἰαντίδι Φυλῇ ταττόμενος εἶναι ὁ Δῆμος *Αἰθαλίδαι*), ὡς Ἄρχων ἀναφέρεται καὶ εἰς τὴν ὑπ' ἀριθ. **3376** ἐπιγραφὴν τῆς Ἀρχαιολογικῆς Ἐφημερίδος. Τὰ γράμματα δὲ ἀμφοτέρων τῶν ἐπιγραφῶν πρὸς ἄλληλα πολλὴν τὴν ὁμοιότητα ἔχουσιν.

Ἐκ τῆς **36** γραμμῆς πληροφορούμεθα, ὅτι οἱ ἔφηβοι τῆς Αἰαντίδος Φυλῆς τὸν χρόνον ἐκεῖνον ἦσαν **140**.

Εἰς τὴν **39** γραμμὴν ἀναφέρεται, ὅτι ἔθυον οὗτοι τοῖς εὐεργέταις, τοῦτο φαίνεται καὶ εἰς τὴν **13** γραμμήν, ὅτι ἔθυσαν τῷ εὐεργέτῃ Διογένει, καὶ ἐν ἄλλαις ἐπιγραφαῖς τοῦτο ἀναφέρεται. Εὐεργέτας δὲ ἐννοεῖ τοὺς

λαβόντας τὴν ἐν Πρυτανείῳ σίτησιν, τοὺς ἥρωας τῶν Ἀθηναίων, τοὺς ἐπωνύμους τούτων, καὶ πάντας ἐκείνους, ὅσοι ὁπωσδήποτε ἐφάνησαν χρήσιμοι εἴς τε τὴν ἠθικὴν καὶ ὑλικὴν ὠφέλειαν τοῦ δήμου. Τὴν εὐγνωμοσύνην ταύτην ἐφύλαξεν ἡ συνήθεια μνημονεύουσα θρησκευτικῶς τοὺς εὐεργετας ἡμῶν, καὶ ἐν ταῖς ἑστιάσεσιν λέγομεν ὁ Θεὸς συγχωρήσοι τὰς ψυχὰς τῶν γονέων καὶ εὐεργετησάντων ὁπωσδήποτε ἡμᾶς.

Ἡ εἰς τὴν 40 γραμμὴν ἀναφερομένη φράσις « καταπεσόντος δὲ τοῦ περιβόλου τοῦ Διογενείου » βεβαιοῖ τὸν λόγον ἡμῶν, ὃν ἀνωτέρω εἴπομεν, ὅτι τὸ Διογένειον ἦν γυμνάσιόν τι μετὰ περιβόλου, ὃ Διογένης τις Ἀθηναῖος ἔκτισε πρὸς κοινὴν χρῆσιν· διὸ καὶ Διογένειον τοῦτο ἐκλήθη, καὶ ὅπερ ὁ κοσμητὴς τῶν ἐφήβων τὴν γυμναστικὴν τῶν ἐφήβων συμπολιτῶν αὐτοῦ περὶ πολλοῦ ποιούμενος, ἀληθῶς Εὔδοξος, ἐπεσκεύασεν. Περὶ γυμνασίου καλουμένου Διογενείου ὅρα καὶ τὴν ἐπιγραφὴν ὑπ' ἀριθ. 427 τῆς συλλογῆς τοῦ Βοικχίου.

Εἰς τὴν 50 γραμμὴν ὁ ἐγχαράκτης τῶν γραμμάτων ἔγραψεν ἐσφαλμένως τιμὴν οὗ οἱ νόμοι ἀπαγορεύουσιν, ἀντὶ τοῦ πλὴν οὗ οἱ νόμοι ἀπαγορεύουσιν.

Εἰς τὴν 59 γραμμὴν μετὰ τὸ ὄνομα Καλλίαν μένει κενὸν ἐπὶ τοῦ λίθου μέρος, ὅπως σημειωθῇ μετὰ ταῦτα τὸ ὄνομα τοῦ πατρὸς τοῦ Καλλίου, ὃ ἠγνόει ὁ ἐγχαράκτης τῶν γραμμάτων κατὰ τὴν ὥραν ἐκείνην ὅτε τὰ γράμματα ἐνεχάραττεν.

Εἰς τὴν 61 γραμμὴν ἀναφέρεται ἡ φράσις « ἀναγράψαι τὸ ψήφισμα τὸν γραμματέα καὶ στῆσαι παρὰ τὴν Δημοκρατίαν· » τὸ ὄνομα τοῦτο ἀναγινώσκεται καλῶς εἰς τὸν λίθον. Τὸ ἄγαλμα τῆς θεᾶς ταύτης εἶχον οἱ Ἀθηναῖοι, πιθανῶς παρὰ τὰ ἀγάλματα τοῦ Ἁρμοδίου καὶ Ἀριστογείτονος, καὶ ἔθυον αὐτῇ, ὡς ἐξάγεται καὶ ἐκ τῆς ὑπ' ἀριθ. 3451 ἐπιγραφῆς τῆς Ἀρχαιολογικῆς Ἐφημερίδος. Τῷ προσφιλεῖ τούτῳ τοῖς ἀρχαίοις Ἀθηναίοις ὀνόματι ἐκάλουν οὗτοι καὶ τριήρεις τινὰς καὶ γυναῖκας (ἐπιγραφαὶ Ἀρχ. Ἐφημ. 3145, 3148 καὶ ἀλλαχοῦ) ὡς ὠνόμαζον καὶ ἄνδρας, οἷον Δημοκράτης Εἰτεαῖος· ὅρα ἐπιγρ. Ἀρχαιολ. Ἐφημερ. 3123, 3144, 3206 καὶ ἀλλαχοῦ, καὶ εἰς τὴν στοάν, τὴν ὄπισθεν τῆς Βασιλείου, σὺν ταῖς γραφαῖς τῶν δώδεκα Θεῶν σὺν τῇ εἰκόνι τοῦ Θησέως ἐγέγραπτο καὶ ἐκείνη τῆς Δημοκρατίας καὶ τοῦ Δήμου (Παυσ. Ἀττ. 2]. Τὸ δὲ ἐνταῦθα μνημονευόμενον ἄγαλμα τῆς Δημοκρατίας ἦν ἐν Σαλαμῖνι· ἀνέστησαν δὲ αὐτό, νομίζω, ἀφοῦ Φίλαιος ὁ Εὐρυσάκους παρέδωσεν Ἀθηναίοις τὴν νῆσον δημοκρατουμένην νέμεσθαι. (Παυσ. Ἀττ. κεφ. 35).

Ὁ εἰς τὴν 63 γραμμὴν σημειούμενος Τελέστης Μηδείου γραμματεύς, ἴσως εἶναι ἔκγονος Τελέστου τοῦ Θεόγνιδος Ἁγνουσίου, ὃς ἀναφέρεται ὡς γραμματεὺς καὶ αὐτὸς ἐν τῇ ὑπ' ἀριθ. 137 ἐπιγραφῇ τῆς συλλογῆς τοῦ Βοικχίου.

Ὁ εἰς τὴν 64 γραμμὴν σημειούμενος πρόεδρος Στρατοφῶν Στρατοκλέους Σουνιεὺς ἀναφέρεται ὡς πρόεδρος καὶ εἰς τὴν ὑπ' ἀριθ. 124 ἐπιγραφὴν τῆς συλλογῆς τοῦ Βοικχίου. Ἐκ τούτου ἐξάγεται, ὅτι τὸ ψήφισμα τῆς ἐπιγραφῆς ταύτης εἶναι μεταγενέστερον τῆς 123 Ὀλυμπιάδος, ἐποχῆς ἀφ' ἧς ἀγνοοῦνται πολλὰ ὀνόματα Ἐπωνύμων Ἀρχόντων.

Καθ' ὅλας τὰς περὶ ἐφήβων ἐπιγραφὰς ἀπαντῶνται αἱ φράσεις « διετέλεσαν καλῶς καὶ δικαίως, καὶ εὐσεβῶς, καὶ σωφρόνως, ἀρετῆς ἕνεκα, » ἣν ἀπήτει ἡ Κυβέρνησις ἐκ τῶν νέων ὧν τὴν ἀνατροφὴν περὶ πολλοῦ ἐποιεῖτο, διότι ἐκ τῆς ὀρθῆς ἀνατροφῆς τούτων σώζεται ἡ πατρίς. Σημειωτέα καὶ ἡ εἰς τὴν 37 γραμμὴν φράσις « συνετήρησεν δὲ αὐτοὺς παρ' ὅλον τὸν ἐνιαυτὸν ὁμονοοῦντας καὶ εὐπειθεῖς. »

Εἰς ὅλας τὰς περὶ ἐφήβων ἐπιγραφὰς ἡ προπαραλήγουσα τοῦ ὀνόματος Μουνιχία τῷ Ι εὑρίσκεται γεγραμμένη. Ἡ ὀρθογραφία δὲ αὕτη εὕρηται καὶ εἰς τὰς ἀρχαιοτέρας ἐπιγραφὰς τὰς καὶ Ἀττικοῖς γράμμασιν γεγραμμένας, καὶ εἰς τὴν ὑπ' ἀριθ. 4052 ἐπιγραφὴν τῆς Ἀρχαιολογικῆς Ἐφημερίδος, ἀντὶ τῆς συνήθους γραφῆς Μουνυχία (τῆς διὰ τοῦ Υ). Τὰ γράμματα Α, Ζ. Λ, Μ. Ξ καὶ Σ εἰς τὴν ἐπιγραφὴν ταύτην εἰσὶν οὕτως ἐγχαραγμένα Α, Ι, Λ, Μ, Ξ, Σ· τὸ δὲ Ο καὶ Ω εἰσὶ μικρότερα τῶν ἄλλων γραμμάτων.

Εἰς τὰς δοτικὰς τῶν ἄρθρων καὶ ὀνομάτων δὲν ἐσημείωσεν εἴς τινα μέρη ὁ ἐγχαράκτης τὸ προσγεγραμμένον Ι, εἰς ἄλλα δὲ μέρη ἐφύλαξε τοῦτο. Ἐπειδὴ δὲ τὰ γράμματα τῆς ἐπιγραφῆς ταύτης εἰσὶ ποῦ μὲν μεγαλήτερα, ποῦ δὲ μικρότερα καὶ ἐπειδὴ οὐκ εἰσὶ κιονιδὸν ἐγχαραγμένα ἐγένετο ἀδύνατον διὰ τῆς τυπογραφίας νὰ διατηρηθῇ ἡ ἐν τῷ λίθῳ τάξις αὐτῶν, τοῦτο δύναται νὰ κατορθωθῇ εὐμαρῶς διὰ τῆς λιθογραφίας.

Τὰ τμήματα τὰ ἀπαρτίζοντα τὴν ἐπιγραφὴν ταύτην εὑρέθησαν κατὰ διαφόρους ἡμέρας καὶ οὐχὶ εἰς τὸ αὐτὸ μέρος ἐντειχισμένα.

Κ. Σ. Π.

# 4098.

Θ ε) ο ἰ.

Ἐπὶ Νικοδήμου Ἄρχοντος ἐπὶ τῆς Αἰγεΐδος τρίτης Πρυτανείας, ᾗ Ἐπιγένης Ἐπιγένου Οἰναῖος ἐγραμμάτευε(ν) Βοηδρομιῶνος ὀγδόῃ ἱσταμένου ἐμβολίμῳ κατ' Ἄρχοντα, κατὰ Θεὸν δὲ ἐνάτῃ ἱσταμένου ἐνάτῃ τῆ(ς Πρυτανείας Ἐκκλησία κυρία ἐν τῷ θεάτρῳ, τῶν προέδρων ἐπεψήφιζε Τίμων Θεοπόμπου Παιαν(ιεὺς καὶ σύνεδροι. Ἔδοξεν τῇ Βουλῇ καὶ τῷ) Δήμῳ. Ἀφροδίσιος Ἀφροδισίου Ἀζηνιεὺς εἶπεν· ἐπειδὴ οἱ ἔφηβοι οἱ ἐπὶ Δημητρίου Ἄρχοντος θύσαντες ταῖς ἐγγραφαῖς ἐν τῷ Πρυτανείῳ ἐπὶ τῆς κοινῆς Ἑστίας τοῦ Δήμου μετά τε τοῦ κοσμητοῦ καὶ τοῦ Ἱερέως τοῦ Δήμου καὶ τῶν Χαρίτων καὶ τῶν ἐξηγητῶν κατὰ τοὺς νόμους καὶ τὰ ψηφίσματα τοῦ Δήμου, ἐπόμπευσαν τῇ Ἀρτέμιδι τῇ Ἀγροτέρᾳ, ἀπήντησαν δὲ καὶ τοῖς ἱεροῖς καὶ προέπεμψαν αὐτά, ὁμοίως καὶ τὸν Ἴακχον, ἤραντο δὲ καὶ τοὺς βοῦς τοὺς ἐν Ἐλευσῖνι τῇ θυσίᾳ καὶ τοῖς προηροσίοις, καὶ τοὺς ἐν τοῖς ἄλλοις ἱεροῖς καὶ γυμνασίοις καὶ τοὺς δρόμους συνετέλεσαν, συνεπόμπευσαν δὲ καὶ τὰς πομπάς, καὶ τὰς λαμπάδας ἔδραμον τὰς καθηκούσας, συνεξήγαγον δὲ καὶ τὴν Παλλάδα Φαληροῖ, κἀκεῖθεν πάλιν συνεισήγαγον μετὰ φωτὸς μετὰ πάσης εὐκοσμίας, εἰσήγαγον δὲ καὶ τὸν Διόνυσον ἀπὸ τῆς ἐσχάρας εἰς τὸ θέατρον μετὰ φωτὸς, καὶ ἔπεμψαν τοῖς Διονυσίοις ταῦρον ἄξιον τοῦ Θεοῦ, ὃν καὶ ἔθυσαν ἐν τῷ Ἱερῷ τῇ πομπῇ, ἐφ' ᾧ καὶ ἐστεφανώθησαν ὑπὸ τοῦ Δήμου· συντελουμένης δὲ καὶ τῆς θυσίας τῇ Ἀθηνᾷ τῇ Νίκῃ συνεπόμπευσαν καλῶς καὶ εὐσχημόνως βοῦν συμπέμψαντες, ἣν καὶ ἔθυσαν ἐν Ἀκροπόλει τῇ Θεῷ· συνετέλεσαν δὲ καὶ τὰς ἄλλας θυσίας τὰς καθηκούσας τοῖς Θε)οῖς καὶ τοῖς εὐεργέταις ἀκολούθως τοῖς (τε) νόμοις καὶ τοῖς ψηφίσμασιν, διετέλεσαν δὲ καὶ εἰς τὰ γυμνάσια δι' ὅλου τοῦ ἐνιαυτοῦ παραγινόμενοι καὶ τῷ κοσμητῇ πειθαρχοῦντες μέγιστον (νομίσ)αντες καὶ ἀναγκαιότατον εἶναι τὴν εὐταξίαν π(οι• • • •)ίσαι τῶν) ὑπὸ τοῦ Δήμου προστεταγμένων μαθημάτων ἀνενκλήτως διετέλεσαν γεγονότες καὶ πειθαρχοῦντες τοῖς (παραγγε)λλομένοις ὑπό τε τοῦ κοσμητοῦ καὶ τῶν διδασκάλων· προσεκαρτέρησαν δὲ καὶ Ζηνοδότῳ σχολάζοντες (ἔν τ)ε τῷ Πτολεμαίῳ καὶ ἐν Λυκείῳ· ὁμοίως δὲ καὶ τοῖς ἄλλοις (φιλο)σόφοις ἅπασιν τοῖς τε ἐν Λυκείῳ καὶ ἐν Ἀκαδημίᾳ (δι' ὅλου τοῦ ἐ)νιαυτοῦ, ἐφήδρευσαν δὲ καὶ ταῖς Ἐκκλησίαις ἐν ὅπλοις (εὐτάκτ)ως, ἀπήντων δὲ διὰ παντὸς τοῖς παραγινομέν(οις φίλοις καὶ εὐεργέ)ταις Ῥωμαίοις, ἐποιήσαντο δὲ καὶ τοῖς Ἐπιταφίοις (δρόμον) ἐν ὅπλοις τόν τε ἀπὸ τοῦ Πολυανδρείου καὶ τοὺς ἄλλους τοὺς καθή(κοντας) καὶ ἀπεδείξαντο ἐν τοῖς ὅπλοις τοῖς τε Θησείοις καὶ Ἐπιταφίοις, ἔδωκαν δὲ καὶ εἰς τὴν φι(άλην τῇ Μητρὶ) τῶν θεῶν τ(ο)ὺς ἐπὶ ταῦ(τα καθεσταμένους κατὰ τὸ ψήφισμα τοῦ Δήμου (δραχμ)ὰς ἑβδομήκοντα καὶ προσανέθηκαν ἑτ(έραν ἐν τῷ) ἐν Ἐλευσῖνι ἱερῷ· ἐξῆλθο(ν δὲ καὶ ἐπὶ τὰ τῆς Ἀττικῆς ὅρια ἐν ὅπλοις τῆς τε χώρας καὶ τῶν ὁδῶν ἔμπειροι ἐγένοντο εἰς (τε τὸν Μαραθῶνα ἦλθον) καὶ τὰ ἱερά, τὰ κατὰ τὴν χώραν, ἐν οἷς διετέλουν θύοντες καὶ καλλιεροῦντες (ὑπὲρ τοῦ Δήμου, παραγενόμενοι δὲ εἰς τὸ Πολυανδρεῖον ἐστεφάνωσάν τε καὶ ἐνήγισαν τοῖς κατὰ πόλεμον τελευτήσασιν ὑπὲρ τῆς ἐλευθερίας, παρε(γ)ένοντο δὲ καὶ (εἰς Ῥαμνοῦντα καὶ τὴν θυσίαν) τὴν γεγονεῖαν ἐκ παλαιῶν χρόνων ὑπὸ τῶν πατέρων τοῦ ἱεροῦ (τὰ σωτή)ρεια καὶ θύσαντες ἀπῆλθον αὐθ(ημερὸν • • • • • • • •)αν, ἔπλευσαν δὲ καὶ ἐπὶ τρόπαιον καὶ ἔθυσαν τῷ Διῒ τῷ τροπα)ίῳ καὶ τῇ πομπῇ τῶν μεγάλων θεῶν ἐποιήσαντο • • • • • • • • περιέπλευσα(ν δὲ καὶ τοῖς Μου)νιχίοις εἰς τὸν λιμένα τὸν ἐμ Μουνιχίᾳ, ἁμιλλώμενοι, ὁμοίως δὲ τοῖς Διὶ σωτηρίοις, ἀπ(ῆλθον δὲ καὶ εἰς τὰ) Αἰάντεια, κἀκεῖ ἐποιήσαντο ἅμιλλαν τῶν πλοίων καὶ πομπεύσ[αντες κ)αὶ θύσαντες τῷ Αἴαντι ἐπηνέθησαν ὑπὸ (τοῦ Δήμου τοῦ Σαλαμινίω)ν καὶ ἐστεφανώθησαν χρυσῷ (στεφά)νῳ ἐπὶ τῷ εὐκάκτως καὶ εὐσχημόνως πεποιῆσθαι τὴν ἐπιδ(ημίαν, σ)υνε(τήρησαν δὲ καὶ τὴν πρὸς ἀλλήλ)ους ὁμόνοιαν καὶ φιλίαν ἐν ὅλῳ τῷ (ἐνιαυτ)ῷ ἀστασίαστοι γενόμενοι) κατὰ τὴν τοῦ κοσμητοῦ προαί(ρεσιν, ἐποι)ήσαντο (δὲ καὶ τὴν ἀπόδειξιν τῇ Βου)λῇ, τὴν καθήκουσαν κατὰ τὸν νόμον, φιλα(γάθως) δὲ ἔχοντες πρὸς ἅπαντα τὰ καλὰ καὶ βουλόμενοι τῇ τοῦ κοσμητοῦ • • • • • • • • • • ἔν τε τῷ τῆς πόλεως συμφέροντι καὶ τῷ ἑαυτῶν εὐσχήμονι καταπάλτην λιθοβόλον ἕνα τῶν ἀρχαίων ἐκ τῶν ἰδίων ἐθαράπ(ευσαν καὶ τὰ ἐλλεί)ποντα προταρασκευάσαντες ἀνανεώσαντο διὰ πλειόνων (ἐτῶν τήν τε χρῆσιν τοῦ ὀργάνου • • • • • • ἀνέμαθόν τε τὴν τ(έχνην) • • • • • • καὶ τὴν μελέτην ἐποιοῦντο, διετέλεσαν δὲ καὶ ἐν τοῖς λοιποῖς

ἀνεγκλήτως ἀναστρεφό(μεν)οι καὶ σχολάζοντες (ἀεὶ ·········πα)ρὰ τοῖς Διο(γενείοις· ὅπως οὖν ἥ τε Βουλὴ καὶ ὁ Δῆμος φαίνωνται τιμῶντες τοὺς ἀξίους καὶ πειθαρχοῦντας τοῖς τε νόμοις (καὶ τοῖς ψηφίσμ)ασιν καὶ (τῷ κοσμ)ητεῖ ἐκ τῆς πρώτης ἡλικίας. Ἀγαθῆ τύχη δεδόχθαι τῆ Βουλῆ τοὺς λαχόντας π(ροέδρο)υς εἰς τὴν ἐπιοῦσαν Ἐκκλησίαν χρηματίσαι περὶ τούτων, γνώμην δὲ ξυμβάλλεσθαι τῆς Βουλῆς εἰς τὸν Δῆμον ὅ,τι δοκεῖ τῆ Βουλ(ῆ ἐπαινέσαι τοὺς ἐφήβους τοὺς ἐπὶ Δημητρίου Ἄρχοντος καὶ στεφανῶσαι αὐτοὺς χρυσῷ στεφάνῳ εὐσεβείας ἕνεκεν τῆς πρὸς τοὺς θεοὺς καὶ εὐταξίας, (ἣν ἔχοντες) διατετελέκασιν ἐν ὅλῳ τῷ ἐνιαυτῷ καὶ φιλοτιμίας τῆς εἰς τὴν Βουλὴν καὶ τὸν Δῆμον καὶ ἀνειπεῖν τὸν στέφανον (ἐν τῷ θεάτρῳ Διονυσί)ων τε τῶν ἐν Ἄστει καινοῖς τραγῳδοῖς καὶ Παναθηναίων καὶ Ἐλευσινίων τοῖς γυμνικοῖς ἀγῶσιν, τῆς δὲ ἀναγορεύσεως τοῦ στεφάνου ἐπιμεληθῆναι τοὺς στρατηγοὺς καὶ τὸν ταμίαν τῶν Στρατιωτικῶν, ἐπαινέσαι δὲ καὶ τοὺς διδασκάλους τόν τε παιδοτρίβην Τίμωνα Τιμάρχου Βοντάδην καὶ τὸν ὁπλόμαχον Σάτυρον Ἡρακλείδου Κηφισιέα καὶ τὸν ἀκοντιστὴν Νίκανδρον Δημητρίου Εὐωνυμέα, καὶ τὸν τοξότην Ἀσκληπιάδην Ἀριστοκράτου Μαραθώνιον, καὶ τὸν καταπαλταφέτην Καλχηδόνα Καλχηδόνος Περιθοίδην, καὶ τοὺς ὑπηρέτας Σάτυρον Ἀπολλωνίου Ἁλιμούσιον, Ἱέρωνα Ἡρακλείδου Ἀναγυράσιον. Ἀθήναιον Ἰσιδώρου Ἁλαιέα καὶ στεφανῶσαι ἕκαστον αὐτῶν θαλλοῦ στεφάνῳ. Ἀναγράψαι δὲ τόδε τὸ ψήφισμα τὸν γραμματέα τὸν κατὰ Πρυτανείαν ἐν στήλαις λιθίναις δυσὶν καὶ στῆσαι μίαμ μὲν ἐν Ἀγορᾷ, τὴν δὲ ἑτέραν οὗ ἂν ἐπιτήδειον εἶναι φαίνηται· εἰς δὲ τὴν ἀ(ναγραφὴν καὶ τὴν ἀνάθεσιν τῶν στηλῶν τὸ γενόμενον ἀνάλωμα μερίσαι τὸν ταμίαν τῶν Στρατιωτικῶν.

